ΑΠΑΝΤΑ, ΜΑΞΙΜΟΥ τοῦ ΟΜΟΛΟΓΗΤΟΥ *

6ος Τόμος - 14 Ε....620
... συνέχεια ... ΠΕΡΙ ΔΙΑΦΟΡΩΝ ΑΠΟΡΙΩΝ 620
ΣΧΟΛΙΑ ΕΙΣ ΤΑ ΤΟΥ ΑΓΙΟΥ ΔΙΟΝΥΣΙΟΥ 671

6ος Τόμος - 14 Ε

... συνέχεια ... ΠΕΡΙ ΔΙΑΦΟΡΩΝ ΑΠΟΡΙΩΝ *
ΤΩΝ ΑΓΙΩΝ ΔΙΟΝΥΣΙΟΥ ΚΑΙ ΓΡΗΓΟΡΙΟΥ

... συνέχεια ... ΠΡΟΣ ΙΩΑΝΝΗΝ ΑΡΧΙΕΠΙΣΚΟΠΟΝ ΚΥΖΙΚΟΥ

ΡΕ (105)**. ΤΟΥ ΑΥΤΟΥ, ΕΚ ΤΟΥ ΕΙΣ ΤΟ ΒΑΠΤΙΣΜΑ Β΄ ΛΟΓΟΥ, ΕΙΣ ΤΟ «ΤΡΙΣΣΗΝ ΓΕΝΝΗΣΙΝ ΗΜΙΝ..».**
(≡14Ε_**010**≡>

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τό βάπτισμα β΄ λόγου, εἰς τό «Τρισσήν γέννησιν ἡμῖν οἶδεν ὁ Λόγος, τήν ἐκ σωμάτων, τήν ἐκ βαπτίσματος, τήν ἐξ ἀναστάσεως»· εἶτα ἐπειπόντος τούτοις τινά, καί τά γεννήσεις ἑρμηνεύοντος, φῆσαι, «Ταύτας δέ τάς γεννήσεις ἁπάσας παρ᾽ ἑαυτοῦ τιμήσας ὁ ἐμός Χριστός φαίνεται, τήν μέν τῷ ἐμφυσήματι τῷ πρώτῳ καί ζωτικῷ, τήν δέ τῇ σαρκώσει καί τῷ βαπτίσματι ὅπερ αὐτός ἐβαπτίσατο, τήν δέ τῇ ἀναστάσει ἧς αὐτός ἀπήρξατο, ὡς ἐγένετο πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς, οὕτω καί πρωτότοκος ἐκ νεκρῶν γενέσθαι καταξιώσας».

Πῶς ἐν τούτοις ὁ θεόφρων οὗτος διδάσκαλος δοκεῖ περιττοτέραν τήν ἐπανάληψιν τῶν προῤῥηθέντων πεποιηκέναι; Τρισσήν γάρ εἰπών γέννησιν, τήν ἐκ σωμάτων, τήν ἐκ βαπτίσματος, τήν ἐξ ἀναστάσεως, ἐπήγαγεν ὥσπερ ἐπιλαθόμενος διά τῆς δοκούσης περιττῆς εἶναι φράσεως καί τετάρτην διά τοῦ φάναι, "Τήν μέν τῷ ἐμφυσήματι τῷ πρώτῳ καί ζωτικῷ». Ἧς

---

* Τό ἔργο τοῦ ἁγίου Μαξίμου χωρίστηκε σέ τόμους καί ἀναγράφονται οἱ σελίδες σύμφωνα μέ τή σειρά "ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ" τῶν ἐκδόσεων "ΤΟ ΒΥΖΑΝΤΙΟΝ" Θεσσαλονίκη 1992, ΦΙΛΟΚΑΛΙΑ ΤΩΝ ΝΗΠΤΙΚΩΝ ΚΑΙ ΑΣΚΗΤΙΚΩΝ, γιά νά μπορεῖ εὔκολα ὁ ἀναγνώστης νά συμβουλεύεται μετάφραση. Τό κείμενο προέρχεται ἀπό τρεῖς πηγές: **1)** ἀπό τήν ἠλεκτρονική βιβλιοθήκη ἑλληνικῶν κειμένων, Thesaurus Linguae Graecae, TLG (http://www.tlg.uci.edu), **2)** κείμενα πού δέν περιλαμβάνονται στό TLG ἀπό τήν πατρολογία τοῦ Migne, τόμος 90ος καί 91ος (τά δακτυλογράφησε ἡ μητέρα τοῦ π. Ἀρσενίου Μέσκου), καί **3)** τά σχόλια στά ἔργα τοῦ ἁγίου Διονυσίου τοῦ Ἀρεοπαγίτη ἀπό τίς ἐκδόσεις ΒΥΖΑΝΤΙΟ, τό κείμενο περάστηκε ἀπό σκάνερ, ἀκολούθησε ὀπτική ἀναγνώριση χαρακτήρων καί ἔλεγχος.

Τόμος καί σελίδα γιά τίς ἐκδόσεις ΒΥΖΑΝΤΙΟ ἀναγράφονται μέ τόν ἀκόλουθο τρόπο: (≡15Β_**010**≡>, δηλαδή ἀκολουθεῖ ἡ δέκατη σελίδα τοῦ 15Β τόμου. Ἐπίσης ὑπάρχει καί ἔνδειξη γιά τήν σελίδα τῆς πατρολογίας Migne (=0364=) ὅταν τό κείμενο προέρχεται ἀπό ἐκεῖ.

* Τό κείμενο προέρχεται ἀπό τήν πατρολογία τοῦ Migne, τόμος 91ος (τό δακτυλογράφησε ἡ μητέρα τοῦ π. Ἀρσενίου Μέσκου), σέ ἀντιπαράθεση μέ τό κείμενο τῶν ἐκδόσεων "ΤΟ ΒΥΖΑΝΤΙΟΝ" τῆς σειρᾶς "ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ" Θεσσαλονίκη 1992, ΦΙΛΟΚΑΛΙΑ ΤΩΝ ΝΗΠΤΙΚΩΝ ΚΑΙ ΑΣΚΗΤΙΚΩΝ, **τόμος 14 Ε**.

(≡14E_**012**≡> γάρ μετά τῶν τριῶν οὐκ ἐμνημόνευσε γεννήσεων ὡς περί προλεχθείσης ἐπήγαγεν εἰπών, "Τήν μέν τῷ ἐμφυσήματι τῷ πρώτῳ καί ζωτικῷ». Πῶς οὖν τοῦτο κατ᾽ ἀλήθειαν εἴρηκεν ὁ διδάσκαλος, οἶδε πάντως ὁ κατ᾽ ἀρετήν αὐτῷ γεγονώς παραπλήσιος, καί μή πόῤῥω τῆς αὐτοῦ περί τά θεῖα σοφῆς ἐπιστήμης διεστηκώς. Ὅσον δ᾽ οὖν ἐμέ γινώσκειν κατά τό ἐμῆς ἀσθενοῦς διανοίας ἀβληχρόν, οὐκ οἶμαι περιττήν εἶναι τήν ἐπαχθεῖσαν τετάρτην γέννησιν, ἀλλά μᾶλλον συμπληρωτικήν τῆς ἐκ σωμάτων προτεθείσης γεννήσεως, καί ἑρμηνευτικήν τῶν ἐπ᾽ αὐτῇ θείων λόγων τε καί τρόπων. Ὁ γάρ τῆς γενέσεως ἕνεκεν τοῦ πρώτου Ἀδάμ ἄνθρωπος γενέσθαι καταδεξάμενος χάριν οὐκ ἀπαξιώσας, διά μέν τῆς γενέσεως τήν πρός τόν πεσόντα συγκατάβασιν, διά δέ τῆς γεννήσεως τήν πρός τόν καταδεδικασμένον ἑκούσιον κένωσιν ἐπιδείξατο· τῇ μέν γενέσει φυσικῶς εἰς ταὐτόν τῷ ἀνθρώπῳ κατά τήν ζωτικήν ἀγόμενος ἔμπνευσιν, ἐξ ἧς τό κατ᾽ εἰκόνα λαβών ὡς ἄνθρωπος ἄπρατον διέμεινεν ἔχων τῆς ἐλευθερίας, τῆς ἀναμαρτησίας καί ἄχραντον. τῇ δέ γεννήσει κατα τήν σάρκωσιν τήν πρός τόν ἄνθρωπον τῆς φθορᾶς ὁμοίωσιν ἑκουσίως διά τῆς δουλικῆς μορφῆς ὑποδύς τοῖς αὐτοῖς παραπλησίως ἡμῖν κατά θέλησιν ὑποκεῖσθαι φυσικοῖς παθήμασι χωρίς ἁμαρτίας, ὡς ὑπεύθυνος ὁ ἀναμάρτητος, ἠνέσχετο. Κατ᾽ ἄμφω γάρ ταῦτα μέρη τεμών ἐκ μερῶν συνετέθη, καί γένονε (=1317=) τελείως νέος Ἀδάμ, τόν πρῶτον τοῖς κατ᾽ ἄμφω μέρεσιν Ἀδάμ ἐν ἑαυτῷ φέρων ἀμείωτον.

Τῆς γάρ πρό τῆς παραβάσεως τοῦ Ἀδάμ γενέσεως νόμῳ συγκαταβάσεως ἀνασχόμενος κατά τήν πλάσιν τό ἀναμάρτητον φυσικῶς λαβών διά τῆς ἐμπνεύσεως, ἄφθαρτον οὐ προσέλαβε. Τῆς δέ μετά τήν παράβασιν ἐκ καταδίκης γεννήσεως κατά τήν ἑκούσιον κένωσιν τό παθητόν φυσικῶς εἰληφώς τό ἁμαρτητικόν (≡14E_**014**≡> οὐ προσείληφε, καί γίνεται νέος Ἀδάμ, γένεσιν λαμβάνων τήν αὐτήν ἀναμάρτητον καί γεννήσεως τῆς αὐτῆς παθητῆς ἀνεχόμενος. Ἄμφω γάρ ἀλλήλαις τελείως περί ἑαυτόν ἐναλλάξ τοῖς κατ᾽ ἄμφω μέρεσιν συμπλέξας ἄμφω δι᾽ ἀλλήλων τῇ ἐλλείψει τοῦ περί ἑκατέραν ἄκρου δυνατῶς ἐξιάσατο, τῆς μέν πρώτης καί τιμίας τήν δευτέραν καί ἄτιμον ποιούμενος σωστικήν τε καί ἀνανεωτικήν, τῆς δέ δευτέρας τήν πρώτην συστατικήν τε καί περιποιητικήν καταστήσας. Ἄκρα δέ φημι τῆς μέν γενέσεως πρώτης καί τιμίας ὑπαρχούσης τό ἄφθαρτον, ὡς ἀναμαρτησίας ἀρχή, τῆς δέ γεννήσεως ὡς δευτέρας οὔσης καί ἀτίμου τό ἁμαρτητικόν, ὡς παντός πάθους αἴτιον καί φθορᾶς. Ἅπερ εἰς ἑαυτόν κατά τήν σάρκωσιν μηδαμῶς εἰληφώς ὁ Σωτήρ καί τά δι᾽ αὐτά καταδεξάμενος τῆς μέν γενέσεως τήν γέννησιν σωστικήν ἐποιήσατο, τῷ καθ᾽ αὐτήν πάθει παραδόξως τήν τῆς γενέσεως ἀφθαρσίαν ἀνανεούμενος, τῆς δ᾽ αὖ πάλιν γεννήσεως τήν γένεσιν περιποιητικήν κατεστήσατο, τῇ κατ᾽ αὐτήν ἀναμαρτησίᾳ τήν τῆς γεννήσεως καθαγιάζων ἐμπάθειαν, ἵνα τήν μέν γένεσιν παντελῶς ἀνασώσηται, τῷ κατ᾽ αὐτήν θεοτελεῖ λόγῳ τήν φύσιν διακρατοῦσαν, τῆς δέ γεννήσεως τήν ὑποπεσοῦσαν αὐτῇ φύσιν διά τήν ἁμαρτίαν παντελῶς ἐλευθερώσῃ, τῷ κατ᾽ αὐτήν ἴσως τοῖς λοιποῖς ἐπί γῆς ζώοις ἐπιῤῥύτῳ τῆς σπορᾶς τρόπῳ μή κρατουμένην.

Συνάψας οὖν γένεσιν καί πλάσιν καί ἔμπνευσιν φυσικῶς τῇ σαρκώσει καί τῇ γεννήσει, κατά μόνην ἐπίνοιαν ἀλλήλων δίελε, καί εὑρήσεις κατά τόν μέγαν διδάσκαλον τήν τετάρτην γέννησιν, συμπληροῦσαν τήν ἐκ σωμάτων, καί μόνῃ ἐπινοίᾳ τήν ἀπ' αὐτής δεχομένην διάκρισιν κατά τόν ἀποδοθέντα τρόπον. Λέγω δέ ταὐτόν εἶναι τήν γένεσιν προεπινοουμένην φυσικῶς τῆς ἐπεισάκτου γεννήσεως, ἧς ἴδιόν ἐστι τό ἐμφύσημα τό πρῶτον καί ζωτικόν.

PS (106). **ΘΕΩΡΙΑ ΕΙΣ ΤΟ, «ΤΡΙΣΣΗΝ ΓΕΝΝΗΣΙΝ ΗΜΙΝ ΟΙΔΕΝ Ο ΛΟΓΟΣ»**

(≡14E_**016**≡>

Θεωρία εἰς τό, "Τρισσήν γέννησιν ἡμῖν οἶδεν ὁ Λόγος».

Καί συλλήβδην εἰπεῖν, εἰ βούλοιο γνῶναι τῶν τοῦ διδασκάλου λόγων τήν ἀκρίβειαν, ζήτει τίς ὁ κατ' αἰτίαν προηγούμενος τῆς ἀνθρώπου γενέσεως λόγος ἐστίν, ὁ τῆς ἰδίας ἐντός μένων ἀεί μονιμότητος ἀνεκφοιτήτως, καί τίς ὁ κατά τήν παιδευτικήν οἰκονομίαν τῆς γεννήσεως αὐτοῦ διά τήν ἁμαρτίαν τρόπος, ὁ τέλος ἔχων τήν τοῦ παιδαγωγουμένου διόρθωσιν καί πρός τόν λόγον τῆς αὐτοῦ γενέσεως τήν τελείαν ἐπάνοδον, καί μαθήσῃ σαφῶς πῶς ὁ Θεός γενόμενος ἄνθρωπος κατ' ἄμφω τελείως γέγονε, (=1320=) πρός ὅν εἶχεν ἀληθῶς τῆς γενέσεως λόγον τόν κατ' οἰκονομίαν σοφῶς ἐπανάγων τρόπον, καί τότε δικαίως θαυμάσεις τῆς συνέσεως τόν διδάσκαλον, πῶς τά κατά τήν φύσιν συνημμένα κατ' ἐπίνοιαν διελών τόν ὅλον τοῦ ἐφ' ἡμῖν θειοτάτου μυστηρίου κρυφίως διετράνωσε λόγον. Τήν γάρ ἐκ σωμάτων γέννησιν τῷ ζωτικῷ ἐμφυσήματι καί τῇ σαρκώσει κατ' ἐπίνοιαν ἐπιμερίσας τήν πρός τόν κατά τήν γένεσιν λόγον τοῦ κατά τήν γέννησιν τρόπου διαφοράν παρῃνίξατο. Ὧν ἐπιλαβόμενος δι' ἡμᾶς ὁ τήν φύσιν ἀνακαινίσας Θεός, μᾶλλον δέ καινίσας εἰπεῖν ἀληθέστερον, καί πρός τό ἀρχαῖον κάλλος αὐτήν τῆς ἀφθαρσίας ἐπαγαγών διά τῆς ἐξ ἡμῶν ἁγίας αὐτοῦ καί λογικῶς ἐψυχωμένης σαρκός, καί πλεόν παρασχόμενος αὐτῇ φιλοδώρως τήν θέωσιν, ἧς μεταπεσεῖν παντελῶς ἀμήχανον αὐτῷ τῷ σαρκωθέντι Θεῷ ψυχῆς τρόπον ἑνούσης σώματι, δι' ὅλου περιχωρήσασαν ἀσυγχύτως κατά τήν ἕνωσιν, καί τῆς αὐτοῦ κατ' αὐτήν ἐκφάνσεως τοσοῦτον ἀντιλαβοῦσαν τό κρύπτεσθαι ὅσον αὐτός δι' αὐτήν γέγονε φανερός καί τῆς οἰκείας φυσικῆς κρυφιότητος ἐκβεβηκώς ἐνομίσθη·

(≡14E_**018**≡> Καί τί τούτου παραδοξότερον, ὅτι φύσει Θεός ὑπάρχων, καί ἄνθρωπος φύσει γενέσθαι καταξιώσας, οὐδετέρας φύσεως τούς φυσικούς ὅρους διά τῆς ἑτέρας παντελῶς παρήμειψεν, ἀλλ' ὅλος Θεός ὤν ὅλος γενόμενος διέμεινεν ἄνθρωπος; οὐ τῷ εἶναι Θεός ἄνθρωπος γενέσθαι κωλυόμενος, οὔτε μήν τῷ γενέσθαι ἄνθρωπος τοῦ εἶναι Θεός ἐλαττούμενος, εἷς καί ὁ αὐτός ὅλος δι' ἀμφοῖν συντηρούμενος, ἄμφω φυσικῶς κατά ἀλήθειαν ὑπάρχων, μήτε τῷ ἀκραιφνεῖ τῆς κατ' οὐσίαν τῶν μερῶν φυσικῆς διαφορᾶς διαιρούμενος, μήτε μήν τῷ ἄκρως μοναδικῷ τῆς ὑποστάσεως συγχεόμενος, οὐ τραπείς εἰς τήν κάτω φύσιν καί εἰς ὅπερ οὐκ ἦν μεταπεσών. Οὐ φαντάσας σαρκός εἴδει καί σχήματι τήν οἰκονομίαν, καί ὅσα ἑτέρα καθ' ὑποκειμένου λέγεται εἶναι

χωρίς τοῦ ὑποκειμένου λαβών, ταύτην ἐπλήρωσεν, ἀλλ᾽ αὐτήν κυρίως πράγματι καί ἀληθείᾳ τήν ἀνθρωπίνην προσλαβών φύσιν ἥνωσεν ἑαυτῷ καθ᾽ ὑπόστασιν ἀτρέπτως καί ἀναλλοιώτως καί ἀμειώτως καί ἀδιαιρέτως, τῷ κατ᾽ οὐσίαν αὐτῆς λόγῳ καί ὅρῳ συνέχων ἀνέκπτωτον. Καθ᾽ ἥν καί τήν ἐκ σωμάτων κατά τόν ἅγιον τοῦτον καί μέγαν διδάσκαλον ἡμετέραν ἐτίμησε γέννησιν, καί γενόμενος ἄνθρωπος ἀληθῶς καί ἀνθρωπίνως γεννώμενος, ἵνα ἡμᾶς τῶν δεσμῶν τῆς γεννήσεως ἐλευθερώσῃ, καί τοῦ παραπλησίως χόρτου σπειρόμενους ἐκ καταδίκης διά τήν ἁμαρτίαν φύεσθαι νόμου, καί τοῦ τήν αὐτήν ἔχειν φυτοῖς τε καί ἀλόγοις ζώοις τῆς πρός τό εἶναι γενέσεως τήν συγγένειαν. Ὡς πού φησιν ὁ μέγας καί τῶν μεγάλων θεατής Ἰεζεκιήλ τά θεῖα μυσταγωγούμενος καί τήν αἰτίαν τῆς νῦν περί τόν ἄνθρωπον ὑπαρχούσης οἰκονομίας ἐκπαιδευόμενος, ὡς πρός Ἰερουσαλήμ φάσκων· τάδε λέγει Κύριος τῇ Ἰερουσαλήμ, Ἡ ῥίζα σου καί ἡ γέννησίς σου ἐκ γῆς Χαναάν, ὁ πατήρ σου Ἀμοιῤῥαῖος, καί ἡ μήτηρ σου Χετταία· (=1321=) ἐν ἡμέρᾳ ᾗ ἐτέχθης οὐκ ἔδησαν τόν ὀμφαλόν σου, καί ἐν ὕδατι οὐκ ἐλούθης, (≡14E_020≡> οὐδέ ἁλί ἁλίσθης, καί σπαργάνοις οὐκ ἐσπαργανώθης, καί ἀπεῤῥίφης ἐπί πρόσωπον τοῦ πεδίου τῇ σκολιότητι τῆς ψυχῆς σου ἐν ᾗ ἡμέρα ἐτέχθης· καί διῆλθον ἐπί σέ, καί εἶδόν σε πεφυρμένην ἐν τῷ αἵματί σου, καί εἶπα σοι, Ἐκ τοῦ αἵματός σου ἡ ζωή σου, πληθύνου, καθώς ἡ ἀνατολή τοῦ ἀγροῦ δέδωκά σε.

Τῆς οὖν τοῦ φύεσθαι διά τῆς σπορᾶς ἴσα χόρτῳ καί δι᾽ αἵματος κατά τά λοιπά ζῶα τήν ζωήν ἔχειν καταδίκης ὁ τήν φύσιν ἐξιώμενος καί πρός τήν ἀρχαίαν τῆς ἀφθαρσίας χάριν ἐπανάγων Κύριος, ἦλθεν αὐτήν ἐλευθερῶσαι, καί ἐμφανῶς μέν αὐτῇ δεῖξαι πρός ὅπερ γενομένη κατ᾽ ἀρχάς οὐδόλως ἐκινήθη καλόν, καί πατῆσαι τό πονηρόν πρός ὅπερ ἅμα τῷ γενέσθαι διά τῆς ἀπάτης τήν ὅλην αὐτῆς κινηθεῖσα παρά φύσιν κατεκένωσε δύναμιν, καί καταδῆσαι πρός ἑαυτόν τήν τῆς ἐπιθυμίας δύναμιν (ἧς ὑπάρχει ὁ ὀμφαλός σύμβολον), τήν ἐν τῷ ἀγαθῷ γόνιμον ἕξιν λαβοῦσαν παγίαν καί ἀμετάπτωτον, καί λοῦσαι ἐν ὕδατι, καθᾶραι λέγων τῶν μολυσμῶν τῆς ἀγνοίας τῷ πελάγει τῆς περιχυθείσης αὐτῇ κατά τήν χάριν γνώσεως, καί ἁλίσαι ἁλί, καί σπαργανῶσαι σπαργάνοις, τουτέστι τήν πρός ὅπερ γέγονεν ἀγαθόν φυσικήν ἐνέργειαν ἀπρίξ στερεώσας τῷ πνεύματι, σήψεως παθῶν καθαράν καταστῆσαι καί ἀνεπίδεκτον, καί τῇ περιβολῇ τῶν ἐν τοῖς οὖσιν ἀληθῶν λόγων δίκην σπαργάνων περισφίγξας ἀδιάχυτον παντελῶς ἀπεργάσασθαι.

PZ (107)**. ΑΛΛΗ ΕΙΣ ΤΟ ΑΥΤΟ ΘΕΩΡΙΑ**

Ἄλλη εἰς τό αὐτό θεωρία.

Τυχόν δέ διά τῶν εἰρημένων ὁ διδάσκαλος διττόν εἶναι τόν κατά τήν γένεσιν τῆς ἀνθρωπίνης φύσεως λόγον τε καί τρόπον (≡14E_022≡> εἰσηγούμενος, τόν μέν ψυχῆς, τόν δέ σώματος, τήν ἐκ σωμάτων γέννησιν εἰς δύο κατ᾽ ἐπίνοιαν διεῖλε γεννήσεις, τήν μέν ψυχήν ἐμφαίνων ἀῤῥήτως ἐκ τοῦ θείου καί ζωτικοῦ ἐμφυσήματος συνισταμένην, τό δέ σῶμα ἐκ τῆς ὑποκειμένης ὕλης τοῦ ἐξ οὗπέρ ἐστιν ἅμα τῇ ψυχῇ κατά τήν σύλληψιν γινόμενον σώματος. Οὐ γάρ

τόν αὐτόν ἀπαραλλάκτως φάναι θέμις ἐπ᾽ ἀμφοῖν τῆς γενέσεως εἶναι τόν λόγον καί τόν τρόπον, ὅτι μηδέ ταυτόν ἀλλήλοις κατά τήν οὐσίαν ἄμφω ταῦτα τυγχάνουσιν. Ὧν γάρ ἀλλήλοις μή ταὐτόν ἐστι τό εἶναι, τούτων δηλονότι καί ὁ πρός ἄλληλα τῆς γενέσεως παρήλλακται λόγος καί τρόπος. Ἀλλά ψυχῆς μέν ἄλλον εἶναι δίκαιον οἴεσθαι καί λόγον καί τρόπον, καθ᾽ ὅν γίνεταί τε καί ἔστι καί ἀμεταβόλως μένει σῶμα καί ψυχῇ συναπτόμενον.

ΡΗ (108). **ΘΕΩΡΙΑ ... ΠΡΟΣ ΤΟΥΣ ΛΕΓΟΝΤΑΣ ΠΡΟΫΠΑΡΧΕΙΝ Ἢ ΜΕΘΥΠΑΡΧΕΙΝ ... ΤΑΣ ΨΥΧΑΣ**

Θεωρία σύντομος πρός τούς λέγοντας προϋπάρχειν ἤ μεθυπάρχειν τῶν σωμάτων τάς ψυχάς.

Εἰ καί ἅμα κατά τήν ὕπαρξιν ἀμφοτέρων, ψυχῆς λέγω καί σώματος, ὁ αὐτός ἐστι τῆς γενέσεως χρόνος, οὐδενός τοῦ ἑτέρου προϋπάρχοντος, ὡς ἔφην, κατά τήν γένεσιν ἤ μεθυπάρχοντος, ἵνα μή τοῦ ἐξ (=1324=) ἀμφοῖν εἴδους ὡς ὅλου λυθῇ, δικαίως ἄν ὁ τοῦ πρός τι λόγος πρεσβυτέραν ἔχων καθ᾽ ἑαυτήν οὖσαν τήν τοῦ ἑνός ὡς μέρους ὑπόστασιν, καί πρός ἄλλο κατά τήν φύσιν παντάπασιν ἄσχετον ἔχουσαν τήν ἕνωσιν, καί διά τοῦτο μηδέποτε τήν σύν ἄλλῳ κατά σύνθεσιν ἄλλου τινός φυσικῶς συμπληροῦσαν ὑπόστασιν χωρίς φθορᾶς καί τῆς πρός ὅπερ οὐκ ἦν ἀλλοιώσεως. Τό γάρ καθ’ ἑαυτό ἰδικῶς προϋφισάμενον εἰς ἄλλου τινός εἴδους ὑπόστασιν οὐ πέφυκεν ἄγεσθαι. Εἰ δέ εἰς τήν ἑτέρου εἴδους συμπλήρωσιν τήν πρός ἄλλο δέχεται σύνθεσιν (≡14E_**024**≡> τό προϋφιστάμενον, ἤ κατά φύσιν τοῦτο ποιεῖ πάντως, ἤ παρά φύσιν. Καί εἰ μέν κατά φύσιν, οὐδέποτε τῆς πρός ἄλλο πρός ἐκπλήρωσιν εἴδους ἑτέρου συνθέσεως παυόμενον ὁραθήσεται, διά τήν βίαν τῆς φύσεως ἑαυτῆς ἐκστῆναι μή δυναμένης, καί τούτῳ τῷ λόγῳ οὔτε σώματος χωρίς ἡ ψυχή, οὔτε ψυχῆς σῶμά ποτε νοηθήσεται, καί περιετράπη τοῖς περιττοῖς τήν σύνεσιν εἰς ἠλιθιότητα τό σοφόν, ἐναχθεῖσι βίᾳ πρός ὅπερ φεύγειν ἐσπούδασαν. Εἰ δέ παρά φύσιν τήν πρός ἄλλου συμπλήρωσιν εἴδους θάτερον τούτων τήν πρός τό ἕτερον δέχεται σύνθεσιν, φθείρεται πάντως, τοῦ κατά φύσιν ἐξιστάμενον ὅρου, καί γινόμενον ὅπερ μή πέφυκε καί εἰς ὅπερ οὐκ ἦν μεταπίπτον. Οὗ τί γένοιτ᾽ ἄν ἀσυνετώτερον; Ἀλ᾽ ἐπί τό προκείμενον ἐπανέλθωμεν.

Ψυχῆς μέν οὖν γένεσις, ὥς φησιν ἐμφαντικῶς ὁ διδάσκαλος, ἐξ ὑποκειμένης ὕλης οὐ γίνεται, καθάπερ τά σώματα, ἀλλά τῷ βουλήματι τοῦ Θεοῦ διά τῆς ζωτικῆς ἐμπνεύσεως ἀῤῥήτως τε καί ἀγνώστως, ὡς οἶδε μόνος ὁ ταύτης δημιουργός. Ἡ ψυχή τό εἶναι λαμβάνουσα κατά τήν σύλληψιν ἅμα τῷ σώματι πρός ἑνός ἀνθρώπου συμπλήρωσιν ἄγγεται, τό δέ σῶμα ἐκ τῆς ὑποκειμένης ὕλης τοῦ ἑτέρου δηλαδή γίνεται σώματος κατά τήν σύλληψιν, ἅμα τῇ ψυχῇ τήν τοῦ ἕν εἶδος εἶναι σύν αὐτῇ δεχόμενον σύνθεσιν. Ὅπερ ἀλλαχοῦ τρανότερον ἐμφαίνων φησίν ὁ διδάσκαλος, «Κατά τήν διπλῆν τοῦ ἐμφυσήματος δύναμιν, καί πνοήν ἐμφυσώμενοι πάντες καί Πνεῦμα ἅγιον». Μεριστέον οὖν τῇ ἐπινοίᾳ κατά τήν σύλληψιν τό μέν ζωτικόν ἐμφύσημα καί τό Πνεῦμα τό ἅγιον τῇ νοερᾷ τῆς ψυχῆς οὐσίᾳ, τήν δέ σάρκωσιν καί τήν πνοήν τῇ φύσει τοῦ

σώματος, καθώς οἱ Πατέρες φασί. Καί ἡ τοῦ προπάτορος Ἀδάμ μυστικῶς παρήχθη γένεσις, ἕτερον τῆς ψυχῆς ἔχουσα τόν τε τοῦ εἶναι λόγον καί τόν τοῦ γενέσθαι τρόπον, καί ἕτερον δηλαδή τοῦ σώματος, ὡς τό θεῖον (≡14E_026≡> ἡμᾶς μεγαλοφυῶς ἐμυσταγώγησε Γράμμα, μή συγχωροῦν τήν ψυχήν καί τό σῶμα καθ᾽ ἕνα καί τόν αὐτον τρόπον τῆς γενέσεως ἀλλήλοις συμπεσόντα φυρῆναι κατά τήν φύσιν καί τόν ἑκάστου τῆς οὐσίας λόγον ἀγνοηθῆναι, καί τόν τῆς γενέσεως τρόπον.

(=1325=) Εἰ δέ τῷ Ἀδάμ ἐνηκολούθησεν ἡ διπλῆ τοῦ ἐμφυσήματος δύναμις κατά τήν εἰς τό εἶναι γένεσιν σύνδρομος, τί ἄν τις εἴποι περί τοῦ κατά τήν ἀνθρωπότητα συναμφοτέρου τοῦ Θεοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ψυχῆς λέγω καί σώματος; ὅπερ κρᾶμα κατά τό δυνατόν ἐμφέρειαν σώζει πολλήν πρός τόν πρῶτον Ἀδάμ. Ὥσπερ γάρ, ὡς αὐτός φησιν ὁ διδάσκαλος, παρά τῆς ὕλης τό σῶμα λαβών ὁ Θεός, νεοτελοῦς δηλονότι προϋποστάσης, παρ᾽ ἑαυτοῦ δέ ζωήν ἐνθείς, ὅ δή νοεράν ψυχήν καί εἰκόνα Θεοῦ οἶδεν ὁ λόγος, δημιουργεῖ τόν ἄνθρωπον, τόν αὐτόν τρόπον καί ἐξ ἀχράντου Παρθένου οἱονεί γῆς ἀμιάντου τό σῶμα λαβών, παρ᾽ ἑαυτοῦ δέ ζωήν ἐνθείς, ὅ δή ψυχήν νοεράν καί εἰκόνα Θεοῦ οἶδεν ὁ λόγος, τό ἑαυτοῦ ἀνθρώπινον ἐδημιούργησεν, ἤ ἑαυτόν ἀτρέπτως κατά πρόσληψιν σαρκός νοερῶς τε καί λογικῶς ἐψυχωμένης, δι᾽ ἡμᾶς ἑκουσίως ὡς παντοδύναμος δημιουργήσας ἐποίησεν ἄνθρωπον.

Ταύτῃ γοῦν καί τετιμηκέναι, καθάπερ οἶμαι, φησίν ὁ διδάσκαλος τήν Κύριον ἡμῶν καί Θεόν τήν καθ᾽ ἡμᾶς τρισσήν γέννησιν, τουτέστι τούς καθόλου τρόπους τῆς ἡμῶν εἰς τό εἶναι καί τό εὖ εἶναι καί ἀεί εἶναι γενέσεως, τήν μέν ἐκ σωμάτων, μίαν οὖσαν τοῦ συναμφοτέρου κατά τήν ἅμα τῶν μερῶν ἀλλήλοις συνύπαρξιν, ψυχῆς λέγω καί σώματος, εἰς δύο διαιρουμένην, διά τόν ἑτεροῖον τῆς ἑκατέρου γενέσεως τρόπον, δι᾽ ἧς τό εἶναι λαμβάνομεν, τήν δέ ἐκ βαπτίσματος, καθ᾽ ἥν τό εὖ εἶναι πλουσίως ὑποδεχόμεθα, τήν δέ ἐξ ἀναστάσεως, καθ᾽ ἥν πρός τό ἀεί εἶναι διά χάριτος μεταποιούμεθα. Ἀκριβῶς τοίνυν δεῖ τοῖς τοῦ διδασκάλου (≡14E_028≡> λόγοις ἐπισκήπτειν διά τούς ἐπηρεαστάς τῶν καλῶν κειμένων. Τῇ γάρ ἐπινοίᾳ μόνῃ διελών τήν ἐκ σωμάτων γέννησιν διά τήν ἀποδοθεῖσαν αἰτίαν, ἅμα τῇ συλλήψει κατά ταυτόν χρονικῆς οὐ ὅλως ῥοπῆς προεπινοουμένης, εἰληφέναι τόν Κύριον τό ζωτικόν πνεῦμα, ἤτοι ἐμφύσημα κατά τό ἀνθρώπινον αὐτοῦ, λέγω δέ τήν νοεράν ψυχήν μετά τοῦ σώματος τοῦ ἐκ τῆς ἀχράντου Παρθένου, καί οὐ μετά τήν σύλληψιν, ὁ διδάσκαλος διορίζεται.

ΡΘ (109). **ΠΡΟΣ ΤΟΥΣ ΛΕΓΟΝΤΑΣ ΠΡΟΫΠΑΡΧΕΙΝ ΤΩΝ ΣΩΜΑΤΩΝ ΤΑΣ ΨΥΧΑΣ**

Πρός τούς λέγοντας προϋπάρχειν τῶν σωμάτων τάς ψυχάς.

Τινές μέν γάρ φασιν, ὡς ἤδη προλαβών ἔφην, προϋπάρχειν τῶν σωμάτων τάς ψυχάς, τινές δέ τό ἐναντίον, τῶν ψυχῶν προϋπάρχειν τά σώματα. Ἡμεῖς δέ τήν μέσην ὁδόν ὡς βασιλικήν κατά τούς πατέρας ἡμῶν ὁδεύοντες οὔτε προΰπαρξιν οὔτε μεθύπαρξιν ψυχῆς ἤ σώματος, συνύπαρξιν δέ μᾶλλον φαμεν, τάς ἐφ᾽ ἑκάτερα φυλαττόμενοι ἐγκλίσεις, καί μήτε ἀριστερά μήτε

δεξιά, καθώς φησιν ἡ ἁγία Γραφή, παντάπασιν ῥέποντες, φόβον φοβούμενοι (=1328=) οὗ πλέον φοβεῖσθαι οὐδέν ἐστι φοβερώτερον, μήπως προϋπάρχειν λέγοντες τῶν σωμάτων τάς ψυχάς, καί τιμωρίας ἕνεκεν τῶν ψυχῶν ἐφευρέσθαι τά σώματα, διά τήν προγεγενημένην τῶν ἀσωμάτων κακίαν, τῆς τῶν ὀρομένων ἐκπρεποῦς μεγαλουργίας, δι᾽ ἧς ὁ Θεός γινώσκεται σιωπῇ κηρυττόμενος, αἰτίαν εἰκότως εἶναι μόνην ὑποτιθέμεθα τήν κακίαν, ἀνάγκην ἐπάγουσαν τῷ Θεῷ παρά πρόθεσιν ἥν οὐκ εὐδόκησεν οὐσίαν δημιουργῆσαι, ἧς τυχόν ἀπ᾽ ἀρχῆς οὐδέ τόν λόγον ἔχει πρό τῶν αἰώνων μετά τῶν ἄλλων ἀπόκρυφον. Τῶν γάρ παρά πρόθεσιν γινομένων λέγειν τόν Θεόν ἔχειν τούς τῆς οὐσιώσεως λόγους, οὔ μοι δοκεῖ συνετῆς διανοίας εἶναι, καί ὁπωσοῦν (≡14E_**030**≡> εὖ συνῃσθημένης Θεοῦ μεγαλειότητος, τοῦ ἀπαθοῦς καί μόνου ἀληθοῦς, καί μηδέν ἔχοντος καθόλου κατά τούς ἐν αὐτῷ προόντας τῶν ὄντων λόγους πρόσφατον, καί μάλιστα παρά πρόθεσιν. Πάντα γάρ αὐτῷ τά ὁπωσοῦν ὄντα ἤ γενησόμενα κατά τήν οὐσίαν προτεθέληταί τε καί προεννενόηται, καί προέγνωσται· ἕκαστον δέ τῶν ὄντων κατά τόν εὔθετον καί ἐπιτήδειον καιρόν οὐσιοῖ καί ὑφίστησι.

Μηδέ γάρ ὅτε τι κατασκευάζοντα τόν Θεόν ὁρῶμεν, τότε καί τῆς περί αὐτό θελήσεως ἦρχθαι ἐννοίας τε καί γνώσεως αὐτόν νομίσωμεν. Ἄπαγε. Πολλῆς γάρ ὄντως ἐστί τοῦτο μεστόν ἀτοπίας, εἰ ὅπερ ὁ Θεός ἐξ ἀρχῆς πρό τῶν αἰώνων μήτε ἐνενόησεν ἤ ἔγνω ἤ ἐθέλησεν εἶναι, νῦν νοήσας τε καί θελήσας καί γνούς, ἤ μεταγνούς εἰπεῖν οἰκειότερον, ὡς καλόν ἐξετέλεσεν· ἵνα μή λέγω ὅτι οὐδέ αὐτήν ὧν τούς λόγους προηγουμένως οὐκ ἔχει, γινώσκει τήν ποιήσιν. Ἀλλά πάντα τῇ βουλήσει τοῦ Θεοῦ προγνωστικῶς κατά τήν ἄπειρον αὐτοῦ δύναμιν ἀεί περιέχεσθαι πιστεύομεν, μηδενός αὐτῷ καθ᾽ οἱανδήποτε τρόπον προσφάτως ἐπινοουμένου, καί τό εἶναι κατά τήν οὐσίαν λαμβάνοντος. Μηδέ γάρ οἴεσθαι δεῖν εὐσεβῶς φρονοῦντας ὑπολαμβάνω τόν Θεόν τά κατά πρόγνωσιν ἀπειροδυνάμως ἐν ἑαυτῷ κατά τούς ἑαυτῶν λόγους προπεριεχόμενα ἕκαστα μανθάνειν διά τῆς εἰς τό εἶναι παραγωγῆς. Ἀλλ᾽ ἡμῖν οἱ αἰῶνές τε καί οἱ χρόνοι κατά τόν προωρισμένον καί τόν εὔθετον ἑκάστου καιρόν σοφῶς ἕκαστα δημιουργούμενα δεικνύουσι, καί εἰς τό εἶναι προβάλλονται, καθά καί περί τοῦ Λευί φησιν ὁ θεῖος Ἀπόστολος οὐτωσί διεξιών, Ἔτι γάρ ἐν τῇ ὀσφύϊ τοῦ πατρός ἦν, πρίν εἰς τό εἶναι παρελθεῖν. Ὅστις δυνάμει μέν ἐν τῷ πατριάρχῃ Ἀβραάμ ὑπάρχων, κατά δέ τόν τετελεσμένον καιρόν (≡14E_**032**≡> τήν πρός τό εἶναι διά κυήσεως κατ᾽ ἐνέργειαν γένεσιν λαβών, εἱρμῷ καί τάξει κατα τήν ἀπόῤῥητον σοφίαν τοῦ Θεοῦ τά πάντα τήν πρός τό εἶναι γένεσιν δέχεσθαι νοεῖν ἡμᾶς καί πιστεύειν κατα τόν προγνωσθέντα καιρόν ὑπηγάγετο.

(=1329=) Πάντων οὖν τῶν κατ᾽ οὐσίαν ὑπαρκτικῶς ὄντων τε καί ἐσομένων, ἤ γενομένων, ἤ γενησομένων ἤ φαινομένων, ἤ φανησομένων, ἐν τῷ Θεῷ προϋπάρχουσι παγίως ὄντες οἱ λόγοι, καθ᾽ οὕς καί εἰσί τά πάντα καί γεγόνασι καί διαμένουσιν ἀεί τοῖς ἑαυτῶν κατά πρόθεσιν λόγοις, διά κινήσεως φυσικῆς ἐγγίζοντα καί πρός τό εἶναι μᾶλλον συνεχόμενα, κατά τήν ποιάν τε καί

ποσήν τῆς προαιρέσεως κίνησίν τε καί ῥοπήν, τό εὖ δι᾽ ἀρετήν καί τήν πρός τόν λόγον καθ᾽ ὅν ἐστιν εὐθυπορίαν, ἤ τό φεῦ εἶναι διά κακίαν καί τήν παρά τόν λόγον καθ᾽ ὅν ἐστι κίνησιν λαμβάνοντα, καί συντόμως εἰπεῖν κατά τήν ἕξιν ἤ τήν στέρησιν τῆς αὐτῶν κατά φύσιν μεθεκτικῆς δυνάμεως τοῦ παντελῶς ἀμεθέκτου κατά φύσιν ὑπάρχοντος, καί πᾶσιν ἁπλῶς ἑαυτόν ἀξίοις τε καί ἀναξίοις ὅλον κατά χάριν δι᾽ ἄπειρον ἀγαθότητα παρέχοντος, καί τήν τοῦ ἀεί εἶναι καθώς ἕκαστος ὑφ᾽ ἑαυτοῦ διατέθειταί τε καί ἔστι διαμονήν ἐμποιήσοντος. Οἷς ἡ τοῦ κυρίως ὄντος καί εὖ ὄντος καί ἀεί ὄντος ἀνάλογος μέθεξις ἤ ἀμεθεξία, τιμωρίας τῶν μετασχεῖν μή δυναμένων, καί ἀπολαύσεως τῶν μετασχεῖν δυναμένων, ἐπίτασίς ἐστι καί ἐπαύξησις. Οὐδέν γάρ τό παράπαν ἔστι τῶν ὄντων οὗ μή παρά τῷ Θεῷ πάντων ὁ λόγος προένεστιν. Ὧν δέ παρά τῷ Θεῷ προϋπάρχουσιν ὄντες τῆς οὐσίας οἱ λόγοι, τούτων δηλαδή κατά πρόθεσιν θείαν πάντως ἐστίν ἡ γένεσις. Ὧν δέ κατά πρόθεσιν θείαν ἐστίν ἡ γένεσις, τούτων ἡ κατ᾽ οὐσίαν ὕπαρξις μένει πρός τό μή ὄν ἀμεταχώρητος. Ὧν δέ πρός τό μή ὄν ἀμεταχώρητος μετά τήν γένεσιν ἀπό τοῦ ὄντος ἡ κατ᾽ οὐσίαν ὑφέστηκεν ὕπαρξις, τούτων οἱ λόγοι τυγχάνουσι μόνιμοί τε καί βάσιμοι, μόνην (≡14E_**034**≡> ἔχοντες ἀρχήν τοῦ εἶναι τήν σοφίαν, ἐξ ἧς καί δι᾽ ἥν ὑπάρχουσι, καί ὑφ᾽ ἧς τήν πρός τό εἶναι δύνασθαι παγίως δύναμιν ἔχουσιν. Ὧν δέ οἱ λόγοι μονίμως ὑπάρχουσι παρά τῷ Θεῷ, καί ἡ περί αὐτούς τοῦ πεποιηκότος τά πάντα Θεοῦ πρόθεσίς ἐστιν ἀδιάπτωτος· χρονικοῖς γάρ ἡ τοῦ Θεοῦ πρόθεσις παντάπασιν οὐ περιείληπται πέρασιν, οὔτε μέν τήν ἐκ μεταβολῆς ἀλλοίωσιν ἐπιδέχεται τοῖς ὑποκειμένοις συμμεταπίπτουσα, τούτων ἀναμφηρίστως αἱ ὑπάρξεις σαφῶς εἰσιν ἀδιάφθοροι.

Ἤ γάρ οὖν κατά πρόθεσιν θέλων πεποίηκεν ὁ Θεός τά ἀνθρώπινα σώματα, καί μένει δι᾽ αὐτόν πρός τό μή ὄν ἀμετάπτωτα παντελῶς, ἀεί θέλοντα εἶναι τό σύν λόγῳ καί σοφίᾳ κατά πρόθεσιν θεληθέν, καί οὐκ ἔσται κατ᾽ αὐτούς ἡ παντελής τῶν σωμάτων πρός τό μή ὄν ἀπογένεσις, ἤ κατά πρόθεσιν οὐ πεποίηκε, καί μή θέλων ἐτυραννήθη, κατά βίαν ἀγόμενος πρός γένεσιν, ὧν τούς λόγους ἔχων οὐ πέφανται. Καί εἰ μέν τυραννηθείς παρά πρόθεσιν ἦλθε ποιῆσαι μή θέλων τά σώματα, λόγος δηλονότι καί σοφία τῆς τούτων γενέσεως οὐδαμῶς καθηγήσατο. Τό γάρ παρά πρόθεσιν θείαν γινόμενον, λόγου καί σοφίας παντελῶς ἐστέρηταί τε (=1332=) καί ἠλλοτρίωται. Τό δέ λόγου καί σοφίας παντελῶς ἐστερημένον μόνον ἐστί τό κακόν, οὗ τό εἶναι χαρακτηρίζει ἡ ἀνυπαρξία, οὗτινος ποιητήν τόν Θεόν μήτε ἐννοεῖν ἡμῖν γένοιτο πώποτε, μήτιγε δέ λέγειν ἀναφανδόν, καί πιστεύειν ὀλεθρίως τολμᾷν. Τίς δέ ὁ τυραννήσας τόν Θεόν, εἴπερ τετυράννηται, καί θέμις ὅλως εἰπεῖν ποιῆσαι παρά πρόθεσιν ὅ μή βεβούληται; Καί πῶς ὁ τυραννηθείς ἐστι Θεός, πρός ἀνάγκης ὑφιστῶν παρά πρόθεσιν ἐπ᾽ ἀπωλείᾳ γένεσιν πραγμάτων; Οἱ ταύτην περιέποντες τήν δόξαν λέγειν τολμάτωσαν. Ἤ γάρ ἄν τόν Θεόν ταῦτα πεποιηκέναι φαῖεν, καί τά μέγιστα βλασφημήσαιεν, (≡14E_**036**≡> ἀνάγκην ἐπάγοντες τῷ Θεῷ ποιῆσαί τι παρά πρόθεσιν· ἤ μή πεποιηκέναι, καί ἐξ ἀνάγκης ἄλλην ἀρχήν Μανιχαϊκῶς τήν ταῦτα ποιοῦσαν εἰσάγοντες

φωραθήσονται. Πάντως γάρ ἴδιόν ἐστι τῶν δύο ἀρχάς ἀλλήλαις ἀντιπαρεξαγόντων τό τῆς προϋπάρξεως δόγμα. Οὕς χάριτι Θεοῦ τοῦ παντελεήμονος ὁ βαθύς τῆς ἀφανείας ζόφος περιλαβών εἰς τελείαν ἀπήλασε λήθην, τό φέγγος τῆς κηρυττομένης ὑπό τῶν ἁγίων Πατέρων ἡμῶν ἀληθείας οὐ φέροντας.

Θαυμάζω δέ πῶς αὐτούς, ἵνα παραλείψω νῦν ὅσα ῥηθῆναι δυνατόν ἐστι, διά τήν συμμετρίαν τοῦ λόγου, τό κατά Χριστόν τόν ἀληθινόν Θεόν ἡμῶν μυστήριον, οὐ δυσωπεῖ ταύτην προθύμως ἑαυτῶν ἐκτινάξασθαι τήν δόξαν. Εἰ γάρ πάντων τῶν θείων μυστηρίων μυστηριωδέστερον τό κατά Χριστόν ὑπάρχει μυστήριον, καί πάσης τῆς κατά πάσαν ἔννοιαν ἐν πᾶσιν ἤ οὔσης ἤ γενησομένης τελειότητος ὁριστικόν, καί παντός ὅρου καί πέρατος ὑπεράνω καθέστηκε, τοῦτο δέ τό μυστήριον μετά τοῦ σαρκωθέντος καί τελείως ἐνανθρωπήσαντος Θεοῦ Λόγου εἶναί τε καί ὑπάρχειν διδάσκει τό σῶμα τό ἐξ ἡμῶν ληφθέν καί ὁμοούσιον ἡνωμένον αὐτῷ καθ᾽ ὑπόστασιν, μεθ᾽ οὗ καί ἀνελήφθη εἰς οὐρανούς, ὑπεράνω πάσης ἀρχῆς καί ἐξουσίας καί δυνάμεως καί κυριότητος καί παντός ὀνόματος ὀνομαζομένου, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλά καί ἐν τῷ μέλλοντι, καί τῷ Θεῷ καί Πατρί νῦν τε καί εἰς τούς ἀπείρους αἰῶνας συγκαθέζεται, πάντας διεληλυθώς τούς οὐρανούς, καί ὑπεράνων πάντων γενόμενος, καί πάλιν ἐλεύσεται ἐπί μεταποιήσει τε καί μεταστοιχειώσει τοῦ παντός καί σωτηρίᾳ τῶν ἡμετέρων ψυχῶν τε καί σωμάτων, καθώς ἐπιστεύσαμέν τε καί πιστεύομεν καί εἰς ἀεί πιστεύοντες διαμένοιμεν, - τίς οὕτως τολμηρός ἐστι καί αὐθάδης, καί πρός τά δῆλά τε καί προφανῆ μάχεσθαι μόνον εἰδώς (≡14E_038≡> προπετῶς, ὥστε κἄν ψιλῶς ἐνθυμηθῆναι πάροδον τήν (=1333=) εἰς τό μή ὄν ἕξειν ποτέ τά σώματα, κατά τήν εἰς τό τέλειον, ὡς ἐκεῖνοί φασι, τῶν λογικῶν προκοπήν, τόν Κύριον αὐτόν καί Θεόν τῶν ὅλων πιστεύων μετά σώματος εἶναι νῦν τε καί εἰς ἀεί, τόν καί τοῖς ἄλλοις τήν τοῦ προκόπτειν δύνασθαι παρεχόμενον δύναμιν, καί πάντας πρός τήν οἰκείαν δόξαν, ὡς ἐφικτόν τῇ δυνάμει τῆς ἐνανθρωπήσεως, ἐνάγοντά τε καί προσκαλούμενον ὡς ἀρχηγόν τῆς πάντων σωτηρίας, καί τάς ἐν ὅλοις ἀνακαθαίροντα κηλῖδας;

Ἀλλ᾽ οὐχ ὑπ᾽ ἐκείνων ὡς τύπων τῆς αὐτοῦ τελειότητος, εἴπερ ὅλως τοῦτο κἄν ἐννοῆσαι τολμήσαιεν, ἀγόμενον πρός ἀπόθεσιν τοῦ σώματος. Οὐ γάρ ἕπεται πρός τελείωσιν ἄλλοις, οὔτε διά προκοπῆς ἐνθεωρούμενον ἔχει τό τέλειον, ὁ μόνος κατά φύσιν τελειότατος καί πάσης ποιητής τελειότητος, οὔτε σύν ἄλλοις ἀναμένει τό τέλειον δέξασθαι, κατ᾽ οὐδέν οὐδενί τῶν ὄντων τό σύνολον εἰς τό δεῖσθαι προκοπῆς ὑπάρχων ὅμοιος, ἵνα καί αὐτός τότε τοῦ σώματος τήν φύσιν ἀπόθηται, ὅτε τοῖς λοιποῖς ἡ ἐπ᾽ ἄκρον προκοπή τήν τοῦ σώματος ἀπόθεσιν γενέσθαι παρασκευάζει. Ἐπεί οὐκ ἔτι ἀρχηγός τῶν σωζομένων ἐστί καί Σωτήρ, ὡς τό καθ᾽ ἡμᾶς τέλος τῆς τελειότητος μυστικῶς ἐφ᾽ ἅπαξ ἐν ἑαυτῷ μή παραδείξας, ἀλλ᾽ εἷς τῶν σωζομένων καί ἀρχομένων καί δεομένων ἄλλου τοῦ δεικνύοντος ἐν ἑαυτῷ τήν ἐφ᾽ ἣν πάντες οἱ λόγου φυσικῶς μετειληφότες ἐπείγονται τελειότητα καί αὐτός ὑπάρχων ἀναφανήσεται.

Οὐχ οὕτω δέ τοῦτ᾽ ἔχει. Πόθεν; Οὐδέ τῆς ἀληθείας ὁ λόγος τῶν ταῦτα λεγόντων ἀνέχεται. Ἀρχηγόν γάρ καί τελειωτήν τῆς ἡμῶν σωτηρίας αὐτόν φησιν ὁ θεῖος Ἀπόστολος, ὡς σαρκωθέντα δι᾽ ἡμᾶς ἵνα τήν ἡμῶν ἁμαρτίαν ἐν ἑαυτῷ δαπανήσῃ, καί τῆς κατ᾽ ἀρετήν ἀγωγῆς ἑαυτόν πᾶσιν δῷ τύπον καί πρόγραμμα (≡14E_**040**≡> τοῖς πιστεύουσιν εἰς αὐτόν, ὡς διδάσκαλος ἀγαθός τε καί σοφός, τά ῥητέα καί τά πρακτέα πρός ὑποτύπωσιν ἡμῶν δι᾽ ἑαυτοῦ πρότερον ἐκτελοῦντα, ἀποθανόντα καί ἀναστάντα καί ἀναληφθέντα εἰς οὐρανούς, καί καθεσθέντα μετά τοῦ σώματος ἐκ δεξιῶν τοῦ Θεοῦ καί Πατρός, ἵνα καί ἡμεῖς ἀποθνήσκοντες βεβαίως ἐλπίζωμεν ἀναστῆναι, καί ζωήν ζῆσαι παντός θανάτου καί πάσης φθορᾶς παντελῶς κεχωρισμένην, καί ἀναληφθῆναι εἰς οὐρανούς, καί τήν ἐν τῷ Θεῷ καί Πατρί διά τοῦ Υἱοῦ αὐτοῦ μεσιτεύοντος τιμήν τε καί δόξαν λήψεσθαι, καί τήν σύν αὐτῷ μακαρίαν καί αἰώνιον μονήν, σώματος δέ καθ᾽ ὁτιοῦν ἀπόθεσιν μή ἐκδέχεσθαι, ὅτι μηδέ τῆς ἁγίας Γραφῆς ὁ λόγος ἡμᾶς τοῦτο διδάσκει. Μήτε μήν ἐν τῷ ἀρχηγῷ τῆς σωτηρίας ἡμῶν τεθεάμεθα τοῦτο προγεγενημένον. Εἰ γάρ φίλον ἦν αὐτῷ καί τοῦτο γενέσθαι, πρῶτος ἄν αὐτός ἐν ἑαυτῷ προενήργει καί τοῦτο μετά τῶν λοιπῶν, οἷς ἑαυτόν δι᾽ ἡμᾶς ὡς φιλάνθρωπος ὑποθείς καθ᾽ ἡμᾶς ἐτελείωσεν, εἰς τό ἡμᾶς μετά τῶν ἄλλων εἰς τοῦτο πιστεύοντας ἐλπίζειν.

Πῶς δέ, εἴπερ ἀνασχοίμεθα (=1336=) τοῦτο λεγόντων αὐτῶν, κατά τόν ἅγιον τοῦτον διδάσκαλον, πιστεύσομεν ὅτι τό ἑνωθέν τῷ Θεῷ καί σώζεται; " Ὁ γάρ, φησί πρός Κληδόνιον γράφων, ἥνωται τῷ Θεῷ, τοῦτο καί σώζεται». Ἡνώθη δέ τῷ Θεῷ Λόγῳ μετά τῆς ψυχῆς καί τό σῶμα. Ἄρα μετά τῆς ψυχῆς καί τό σῶμα σωθήσεται. Καί πάλιν, εἰ διά τοῦτο σαρκοῦται, κατά τόν θεόφρονα τοῦτον διδάσκαλον, ὁ τοῦ Θεοῦ Λόγος, ἵνα καί τήν εἰκόνα σώσῃ καί τήν σάρκα ἀθανατίσῃ, πῶς τό σωζόμενον ἀπολεῖται, καί θνήξεται πάλιν τό ἀθανατιζόμενον, μᾶλλον δέ κυριώτερον εἰπεῖν, θεωθέν ὅλον διά μέσης τῆς νοερᾶς ψυχῆς θεότητι μεσιτευούσης καί σώματι, παροῦσαν ὅλην ἀῤῥήτως οὐσιωδῶς (≡14E_**042**≡> τήν τοῦ σαρκωθέντος ὑπόστασιν Θεοῦ Λόγου δεξάμενον, καί ἴδιον αὐτό σῶμα ποιησαμένου τε καί ἀποφήναντος, οὐκ ἔχω συνιδεῖν. Τίνος δέ χάριν, εἴπερ τῷ μυστηρίῳ τῆς ἐκκλησιαστικῆς πίστεως καί τοῦτο περιέχεται τό δόγμα, μή τοῖς ἄλλοις συμπεριελήφθη ἐν τῷ συμβόλῳ τῆς κατά τήν ἀμώμητον πίστιν τῶν Χριστιανῶν ἐκθέσεως ὑπό τῶν ἁγίων καί μακαρίων Πατέρων ἡμῶν, τῶν συναθροισθέντων κατά καιρούς ἐπί βεβαιώσει τῶν θείων τῆς ἁγίας τοῦ Θεοῦ καί ἀποστολικῆς Ἐκκλησίας δογμάτων, λέγειν τοῖς σοφοῖς καταλείψωμεν. Ἀλλ᾽ ἀρχεῖν οἶμαι πρός τό παρόν παρεκβατικῶς ταῦτα ῥηθῆναι πρός τούτους. Πρός δέ τούς ἄλλους τρεψώμεθα.

ΡΙ (110). **ΠΡΟΣ ΤΟΥΣ ΛΕΓΟΝΤΑΣ ΤΩΝ ΨΥΧΩΝ ΠΡΟΫΠΑΡΧΕΙΝ ΤΑ ΣΩΜΑΤΑ**

Πρός τούς λέγοντας τῶν ψυχῶν προϋπάρχειν τά σώματα.

Τό μεθυπάρχειν τῶν σωμάτων τάς ψυχάς, ὦ οὗτοι, λέγειν εὔκολον καί τοῦ βουλομένου παντός, τό δέ λόγῳ συστήσασθαι τό

λεγόμενον πάνυ δύσκολον καί ἐργῶδες, καί οὔποτε ῥᾴστην ἔχον τῆς σπουδῆς τήν ἀπόδειξιν. Εἰ γάρ τό καταβαλλόμενον καθ᾽ ὑμᾶς εἰς πρόφασιν τῆς ἀνθρωπίνης γενέσεως παντάπασίν ἐστιν ἄψυχον, καί ζωτικῆς δηλονότι δυνάμεως πάντη καθέστηκεν ἄμοιρον. Τό γάρ ψυχῆς παντελῶς τῆς οἱασοῦν ἐστερημένον καί πάσης ζωτικῆς ἐνεργείας ἐστίν ἔρημον. Εἰ δέ ψυχῆς καί τῆς κατ᾽ αὐτήν ζωτικῆς δυνάμεώς τε καί ἐνεργείας παντελῶς καθέστηκεν ἄμοιρον, δηλονότι νεκρόν τυγχάνει· εἰ δέ νεκρόν αὐτό ὑποτιθέμεθα εἶναι, οὔτε τρέφεται οὔτε αὔξεται, οὐδ᾽ ὅλως ὑποστῆσαι δυνήσεται, καί μεῖναι παντελῶς ἀσκέδαστόν τε καί ἀδιάχυτον. Τεκμηριοῖ δέ τό λεχθέν ὁ ἐν τοῖς σώμασι τῶν ἑλκῶν ἀκεσμός. Ἡνίκα γάρ ἐφάπτονται τούτων ἰατρῶν παῖδες, εἰ εὕροιεν ἐπιπολάζον σῶμα νεκρόν, τοῖς κατεσθίουσι τοῦτο φαρμάκοις (≡14E_**044**≡> προαναλώσαντες, οὕτω τά πρός ἀνάδοσιν τοῦ κοιλανθέντος ἐκ τῆς ὠτειλῆς σώματος ἐπιβάλλουσιν εἰς ἀναπλήρωσιν, ὡς τοῦ ζῶντος (=1337=) δηλαδή σώματος φύσιν ἔχοντος ἀναπεμπάζουσαν καί δύναμιν τῆς οἰκείας ἕξεως συστατικήν τε καί ἐπανακλητικήν, τοῦ δέ νεκροῦ τοῦτο μηδαμῶς ἐνεργοῦντος, ἅπαξ νενεκρωμένου καί παντελῶς ζωτικῆς ἐστερημένου δυνάμεως, καί διά τοῦτο ἀνενεργήτου τυγχάνοντος. Πῶς δέ καί στήσεται τό φύσει σκεδαστόν τε καί εὐδιάλυτον, μή οἱονεί θεμελίου τρόπον κατ᾽ ἐπίνοιαν προϋποκειμένης τινός ζωτικῆς δυνάμεως, περί ἑαυτήν φυσικῶς συγκρινούσης τε καί διασφιγγούσης τό σκεδαννύμενον, ἐν ᾗ τό εἶναί τε καί εἰδοποιεῖσθαι παρά τῆς τά ὅλα σοφῶς τεχνιτευούσης δυνάμεως ἔχειν ἔλαχεν; Ἐν ᾧ γάρ ἄν πράγματι μετά τό τεχθῆναι περίεστιν ἀληθῶς τό εἶναι τῷ σώματι, ἐν ἐκείνῳ πάντως δικαίως ἄν λέγοιτο ἔχειν καί τήν ἀρχήν τῆς ὑπάρξεως. Οὗτινος γάρ τῷ χωρισμῷ διαλύεσθαι πέφυκε τό σῶμα, τούτου δηλαδή τῇ ὑπάρξει κατά τήν γένεσιν εὐλόγως ἄν πάντως καί συνυφέστηκεν.

Εἰ δέ τούτοις στενοχωρούμενοι τοῖς λογισμοῖς, ὦ οὗτοι, φατέ μή νεκρόν εἶναι παντάπασι τό καταβαλλόμενον εἰς πρόφασιν τῆς ἀνθρωπίνης συστάσεως, ζωτικῆς δέ τινος κἄν ποσῶς μετέχειν δυνάμεως, ὡς ψυχήν ἔχον δηλονότι τῆς τοιαύτης μεθέξει δυνάμεως (χωρίς γάρ ψυχῆς εἶδος ζωῆς οὐκ ἄν εἴη πώποτε καθάπαξ ἐν τοῖς ὑπό φύσιν ἀναγομένοις καί τῆς οὐρανίου δῆλον ἀεικινήτου περιφορᾶς ἐντός διειλημμένοις, ἀεί δέ ζωῆς εἶδος ἄνευ ψυχῆς τό παράπαν οὐκ ἔστι κατά τήν λογικήν ἀκολουθίαν), οἷον δ᾽ ἄν ὑποτίθεσθε ζωῆς εἶδος τό καταβαλλόμενον ἔχειν κατά τήν σύλληψην, ψυχῆς τινος μόνον ἰδιότητα ἐνεφήνατε, συστατικήν μέν τῆς ἐν ᾗπέρ ἐστιν οὐσίας ἀφοριστικήν δέ τῶν μή τοιούτων διαφοράν. Εἰ δέ καί ψυχήν ἔχειν τό ἔμβρυον βίας πρός τό δέον ὑπό τῆς ἀληθείας ὠθούμενοι λέγετε, τίνα τε (≡14E_**046**≡> καί ὁποίαν ταύτην, καί πῶς θεωρουμένην ἤ λεγομένην, ὑμᾶς λέγειν ἐστίν ἀκόλουθόν τε καί πρόσφορον. Καί εἰ μέν μόνην τήν θρεπτικήν τε καί αὐξητικήν ἔχειν αὐτό διαβεβαιοῦσθαι ψυχήν, φυτοῦ τινος δηλονότι καί οὐκ ἀνθρώπου τῷ λόγῳ τούτῳ καθ᾽ ὑμᾶς τό τρεφόμενον καί αὐξόμενον ἔσται σῶμα. Καί πῶς τοῦ φυτοῦ πατήρ ὁ

ἄνθρωπος ἔσται σινιδεῖν οὐκ ἔχω, πολλά σκοπῶν, ἐξ ἀνθρώπου παντελῶς τό εἶναι κατά φύσιν ἔχοντος.

Εἰ δέ τήν αἰσθητικήν μόνην τῷ ἐμβρύῳ προσνέμετε ψυχήν, ἵππου πάντως ἤ βοός ἤ ἑτέρου τινός τῶν χερσαίων ἤ ἐναερίων ζώων ψυχήν ἔχων δειχθήσεται κατά τόν σύλληψιν τό ἔμβρυον, καί πατήρ οὐκ ἔσται κατά φύσιν ἀνθρώπου καθ᾽ ὑμᾶς ὁ ἄνθρωπος, κατά τήν πρώτην σύστασιν· ἀλλά φυτοῦ τινος, καθώς ἔφην, ἤ ζώου τῶν ἐπί γῆς. Οὗ τί γένοιτ᾽ ἄν ἀτοπώτερον ἤ φρενοβλαβέστερον; Τό γάρ μή συνυπάρχειν διαβεβαιοῦσθαι τῇ πρώτῃ συστάσει τῶν ὄντων κατά τήν ἑκάστου φυσικήν διαφοράν ἀπαραλείπτως τούς οἰκείους τῆς ὑπάρξεως ὁρισμούς, φύρειν ἐστίν εἰς ἄλληλα τά πάντα, καί μηδέν εἶναι κυρίως τῶν ὄντων ὅπερ ἐστί τε καί λέγεται διισχυρίζεσθαι. Καί τό δή μεῖζον κακόν, διαβολήν (=1340=) τῆς θείας σοφίας τε καί δυνάμεως ἀρίδηλον ἔχον μεγίστην πάντως δειχθήσεται. Εἰ γάρ πάντα τά ὁπωσοῦν ὄντα πρό γενέσεως αὐτῶν κατά τήν πρόγνωσιν τοῦ Θεοῦ τῷ οἰκείῳ λόγῳ τό τέλειον ἔχει, δηλονότι καί ἅμα τῷ εἶναι κατά τόν ἴδιον λόγον πρός γένεσιν παραγόμενα ἀπαραλείπτως αὐτῇ τῇ ἐνεργείᾳ τό τέλειον ἕξει. Εἰ δέ τό μέν τέλειον κατά τήν πρόγνωσιν ἔχει τά ὄντα, κατά δέ τήν εἰς τό εἶναι παραγωγήν τε καί γένεσιν τό ἀτελές, ἤ οὐκ αὐτά ἐκεῖνα ἔσται τά προγνωσθέντα, ἀλλ᾽ καθ᾽ ἑτέρων ἕτερα, ἤ τοῦ δημιουργοῦ πρόδηλος ἀσθένεια (≡14E_**048**≡> τοῦτο ἄν εἴη καί σαφής, μή δυνηθέντος κατά τήν πρόγνωσιν τό προγνωσθέν ἀθρόως ἅμα τῇ γενέσει κατά τήν ἐνέργειαν ὡς εἶναι πέφυκε κατά τήν οὐσίαν, παραστῆσαι πληρέστερον.

Εἰ δέ τούτους ὑφορώμενοι τούς ἐλέγχους ἐπ᾽ ἐκεῖνο καταφύγοιτε τελευταῖον, φάσκοντες μή δίκαιον εἶναι τό κατ᾽ εἰκόνα Θεοῦ καί θεῖον (οὕτω τήν νοεράν καλοῦντες ψυχήν) ῥεύσει καί ἡδονῇ ῥυπαρᾷ συνυπάρχειν, μετά δέ τάς τεσσαράκοντα τῆς συλλήψεως ἡμέρας ἐπεισκρίνεσθαι λέγειν εὐσχημονέστερον οἴεσθαι δεῖν, τόν τῆς φύσεως δημιουργόν σαφῶς αἰτιώμενοι φανήσεσθε, καί τόν ἐντεῦθεν τῆς βλασφημίας ἀναφαινόμενον εἰκότως ὑπέχοντες φοβερόν δειχθήσεσθε κίνδυνον. Εἰ γάρ κακός ὁ γάμος, δηλονότι καί ὁ κατά φύσιν τῆς γενέσεως ὁ νόμος· εἰ δέ κακός ὁ τοιοῦτος τῆς κατά φύσιν γενέσεως νόμος, ὁ τήν φύσιν δηλονότι πεποιηκώς, καί δούς αὐτῇ νόμον γενέσεως, δικαίως ἄν καθ᾽ ἡμᾶς αἰτιαθήσεται. Καί τί τούς ἀπό Μάνεντος καί τούς πρό αὐτοῦ αἱρετικούς, ταύτης ἕνεκα τρόπον τινά καί μόνης τῆς αἰτίας, δύο ἀρχάς ὑποστησαμένους, καί τόν ἐπί πάντων Θεόν ἀρνησαμένους, ἀποστρεφόμεθα, τό αὐτό λέγοντας, εἰ καί μή διά τῶν αὐτῶν, καί ὑμᾶς εὑρηκότες; Εἰ δέ ταύτης ἕνεκα τῆς αἰτίας συνυπάρχειν τῷ σώματι κατά τήν σύλληψιν τήν λογικήν τε καί νοεράν ψυχήν λέγειν δι᾽ αἰσχύνης εὐλάβειαν παραιτεῖσθε μηδέ μετά τεσσαράκοντα ἡμέρας, μήτε μετά τόν ἐννεαμηνιαῖον τῆς κυοφορίας χρόνον, μήτε μήν μετά τόν τόκον, πρό τῶν μ΄ ἡμερῶν τοῦ καθαρισμοῦ φάναι τολμήσετε τό γεννηθέν ἔχειν τήν λογικήν τε καί νοεράν ψυχήν. Οὐ γάρ προσιτόν τῷ ναῷ τοῦ Θεοῦ τέως ἐστί τό τεχθέν, ὡς ἀκάθαρτον τῷ νόμῳ διοριζόμενον. Ὡς λοιπόν μέχρι τῆς τῶν ἡμερῶν τοῦ καθαρισμοῦ συμπληρώσεως μή ἔχειν τό

τικτόμενον τήν λογικήν τε καί νοεράν ψυχήν κατά τόν εἰκότα λόγον ὑπονοεῖν, ἀλλά τινος, ὡς ἔφην μικρῷ πρόσθεν, φυτοῦ ἤ ζώου ἀλόγου τῶν ἐν τοῖς οὖσι διειλημμένων. Εἰ δέ πρόφασις ὑμῖν τοῦ τοιούτου λόγου (≡14E_050≡> καθέστηκε τό γεγραφέναι τόν μέγαν Μωϋσῆν, δίκας μή ἀπαιτεῖσθαι τόν πλήξαντα τήν κυοφοροῦσαν γυναῖκα, πρό τεσσαράκοντα ἡμερῶν εἰ συμβαίη διά τῆς πληγῆς αὐτήν παρά τόν καιρόν ἀποθέσθαι τό ἔμβρυον, ἰστέον ὡς οὐ τήν εἰς τό σῶμα τότε τῆς λογικῆς ψυχῆς γινομένην εἴσοδον ἐμφαίνων ὁ σοφός Μωϋσῆς, ἀλλά τόν τέλειον τοῦ καταβληθέντος ἐξεικονισμόν ἀπαρτίζεσαι τότε δηλῶν, (=1341=) τέως κατά τόν πρόχειρον νοῦν τοῦτο γέγραφε.

Προσεπιτούτοις δέ πᾶσι, δέδοικα τόν τοιοῦτον προσδέξασθαι λόγον, μήπως ἡ τοῦ λόγου καθ᾽ εἱρμόν προβαίνουσα τάξις φοβερῶν ποιήσῃ με δικαίως ἐγκλημάτων ὑπεύθυνον, ὅπερ μή θέμις εἰπεῖν ὅσον ἐκ τῆς ἀκολουθίας τοῦ λόγου με βιαζομένη τόν Κύριον ἡμῶν καί Θεόν λέγειν, εἴπερ ἀληθῶς καθ᾽ ἡμᾶς γενέσθαι κατηξίωσεως ἄνθρωπος χωρίς ἁμαρτίας, κατά τήν σύλληψιν ἄψυχον καί ἄνουν ἄνθρωπον γεγονέναι, καί τάς τεσσαράκοντα ἡμέρας οὕτως ἔχοντα μεμενηκέναι, τῶν ἁγίων Πατέρων ἡμῶν καί διδασκάλων διαῤῥήδην βοώντων, μᾶλλον δέ τῆς δι᾽ αὐτῶν λαλούσης τε καί λαλουμένης ἀληθείας, ἅμα τῇ καθόδῳ τοῦ Θεοῦ Λόγου κατά τήν σύλληψιν ἀχρόνως διά μέσης ψυχῆς λογικῆς ἑνωθῆναι σαρκί τόν Κύριον αὐτόν καί Θεόν Λόγον, ἀλλ᾽ οὐ διά μέσης σαρκός ἀψύχου λογικήν ψυχήν προσδέξασθαι προσγινομένην, καί οὐκ ἄψυχον σῶμα παντελῶς ἤ ἄνουν ψυχήν καί ἄλογον ἐνειληφέναι, ἀλλά τελείαν ἀνελλιπῶς τήν φύσιν τήν ἐκ ψυχῆς λογικῆς ἅμα καί σώματος συνισταμένην ἑαυτῷ καθ᾽ ὑπόστασιν ἀῤῥήτως ἑνῶσαι. Διό μάλιστα περιέχομαι τοῦ τῆς συνυπάρξεως λόγου, τούς ἐφ᾽ ἑκάτερα δι᾽ ἐναντίας ὄντας ἀλλήλοις τε καί τῇ μεσότητι προσφυῶς ἀποπεμπόμενος, αὐτόν τόν τῆς φύσεως ποιητήν ἔχων τῷ καθ᾽ ἑαυτόν μυστηρίῳ τῆς ἐνσωματώσεως τοῦ τοιούτου λόγου συνήγορόν τε καί διδάσκαλον ἀπαραλόγιστον, τόν γενόμενον ἀληθῶς ἄνθρωπον, καί τήν φύσιν τελείως ἔχουσαν ἅμα τῷ εἶναι κατά τήν γένεσιν ὑφίστασθαι (≡14E_052≡> δι᾽ ἑαυτοῦ βεβαιωσάμενον, καί μόνην καινοτομήσαντα τήν καινοτομίαν τῆς φύσεως λέγω δή τήν διά σπορᾶς σύλληψιν καί τήν διά φθορᾶς γέννησιν, ἅσπερ ἡ φύσις μετά τήν παράβασιν ἐπεσπάσατο, τῆς θείας ἀποπεσοῦσα καί πνευματικῆς εἰς πλῆθος αὐξήσεως, ἀλλ᾽ οὐ τόν λόγον τῆς φύσεως καθ᾽ ὅν ἔστι τε καί γίνεσθαι πέφυκεν ἅμα τῷ εἶναι ἐκ ψυχῆς λογικῆς ὑφισταμένη καί σώματος.

ΡΙΑ (111). **ΠΕΡΙ ΤΟΥ ΠΩΣ ΚΑΙΝΟΤΟΜΙΑ ΓΙΝΕΤΑΙ ΤΩΝ ΚΑΙΝΟΤΟΜΟΥΜΕΝΩΝ ΠΡΑΓΜΑΤΩΝ …**

Περί τοῦ πῶς καινοτομία γίνεται τῶν καινοτομουμένων πραγμάτων μενόντων ἀτρέπτων κατά τήν φύσιν.

Πᾶσα γάρ καθόλου φάναι καινοτομία περί τόν τρόπον τοῦ καινοτομουμένου πράγματος πέφυκεν, ἀλλ᾽ οὐ περί τόν λόγον τῆς φύσεως γίνεσθαι, διόπερ ὁ μέν λόγος καινοτομούμενος φθείρει τήν φύσιν, οὐκ ἔχουσαν τόν καθ᾽ ὅν ἐστι λόγον ἀῤῥαδιούργητον, ὁ δέ

τρόπος καινοτομούμενος φυλαττομένου δηλαδή τοῦ κατά φύσιν λόγου θαύματος ἐνδείκνυται δύναμιν, ὡς τήν φύσιν ἐνεργουμένην τε καί ἐνεργοῦσαν ὑπέρ τόν ἑαυτῆς ἀποδεικνύς δηλονότι θεσμόν. Λόγος δέ φύσεως ἀνθρωπίνης ἐστί τό ψυχήν καί σῶμα καί ἐκ ψυχῆς λογικῆς εἶναι τήν φύσιν καί σώματος, τρόπος δέ ἡ ἐν τῷ ἐνεργεῖν καί ἐνεργεῖσθαι φυσικῶς τάξις ἐστίν, ἀμειβομένη τε πολλάκις καί ἀλλοιουμένη, τήν δέ φύσιν ἑαυτῇ παντελῶς οὐ συναμείβουσα. (=1344=) Καθάπερ καί ἐπ᾽ ἄλλου παντός ἔχει πράγματος, ἡνίκα καινίσαι τι περί τήν ἑαυτοῦ κτίσιν ὁ Θεός βουληθῇ προνοίας ἕνεκεν τῶν προνοουμένων, καί ἐνδείξεως τῆς ἐπί πάντα καί διά πάντων διηκούσης δυνάμεως. Ὥσπερ ἀμέλει παραδοξοποιῶν ταῖς ἀνέκαθεν τῶν θαυμάτων τε καί σημείων μεγαλειότησι καινοτομίας λόγῳ πεποίηκε, πρός ἕτερον εἶδος ζωῆς παρά τό ἐν σαρκί τῇ ὑπό φθοράν (≡14E_054≡> μεταβιβάσας τόν Ἐνώχ τε καί τόν Ἠλίαν τούς μακαρίους, οὐ κατ᾽ ἀλλοίωσιν φύσεως, ἀλλά κατά παραλλαγήν τῆς κατ᾽ αὐτήν ἀγωγῆς καί διοικήσεως, ὕδωρ εἰς ἐπίκλυσιν τῶν ἐπί γῆς μοχθηρῶν ἀνθρώπων καθιστῶν τῷ πολλαπλάσιον, ἐν τῇ κιβωτῷ μετά θηρίων ἀγρίων ἀποφαίνων τόν πρῶτον πλωτῆρα Νῶε δίαιταν ἔχειν ἀλύμαντον, Ἀβραάμ καί Σάῤῥαν τούς μεγάλους αὐτοῦ θεράποντας παιδί τιμῶν παρ᾽ ἡλικίαν καί τόν νενομισμένον πρός παιδοποιίαν ὅρον τε καί χρόνον τῆς φύσεως, πῦρ τήν ἐπί τά κάτω ποιεῖσθαι φοράν εἰς ἐπίκλυσιν ἀσεβῶν παρασκευάζων, οὐδ᾽ ὅλως τοῦ κατά φύσιν λόγου διά τοῦτο μειούμενον, τῆς βάτου πῦρ ἀκαύστως ἐξάπτων εἰς τήν τοῦ θεράποντος πρόσκλησιν, ὕδωρ ἐν Αἰγύπτῳ πρός αἵματος μεταβάλλων ποιότητα, τήν φύσιν αὐτοῦ παντελῶς μή ἠρνημένον, ὕδωρ μεῖναν κατά φύσιν καί μετά τήν φοίνιξιν,

Καί τά λοιπά τῶν ἐκεῖσε θαυμάτων τε καί σημείων ἐπιτελῶν, πρός τό δοῦναι τοῖς μέν πιστοῖς τῶν κατεχόντων δεινῶν ἐλευθερίας ἐλπίδα, τοῖς ἀπίστοις δέ συναίσθησιν τῆς κολαζούσης δυνάμεως, πρός ἀπόθεσιν τῆς κατεχούσης αὐτούς περί τό Θεῖον πωρώσεως, θάλασσαν τέμνων ῥάβδῳ καί τό συνεχές διαλύων τοῦ ὕδατος, τῆς οἰκείας μή ἐξισταμένου φύσεως, εἰς δίοδον μέν τῶν δι᾽ αὐτόν διωκομένων, ἐποχήν δέ τῶν ἀναιτίως διωκόντων τό εὐγενές καί ἐλεύθερον, ὕδωρ ξύλῳ γλυκαίνων, καί ἄρτον ἀνήροτον οὐρανόθεν ὕων ξένον καί ἄγνωστον, καί πλῆθος ὀρνέων ἐδωδίμων ἐξαίφνης τῆς θαλάττης ἐκβράζων, χωρίς τῆς κατά φύσιν ἐξ ἀλλήλων διαδοχῆς, πρός παραμυθίαν τῶν ἐν τῇ ἐρήμῳ κακοπαθούντων, ὕδατος μητέρα τήν πέτραν ἀποδεικνύς, εἰς βεβαίωσιν πίστεως τῶν ἐν τοῖς ἀγῶσι λειποτακτούντων, ποταμόν ἀνακόπτων πρός διάβασιν ἄβροχον λαοῦ (≡14E_056≡> θεοσεβοῦς, ἡλίου τε καί σελήνης δρόμον ἐπέχων ἀκώλυτον παραδόξως, τήν ἀεικίνητον τοῦ περιέχοντος φύσιν στήσας ἀκίνητον, πρός ὄλεθρον ἀσεβοῦς δυναστείας ἀμαθῶς ἀντιπαραταττομένης Θεῷ, καί πρίν λάβῃ πέρας τῶν ὁρομένων ἡ δύναμις, καί εἰς κατάσχεσιν τῆς πόῤῥωθεν ἀψευδῶς ἐπηγγελμένης κληρονομίας.

Καί τά λοιπά ὅσα δή πεποιηκέναι λέγεται, κατά τε τήν γῆν τῆς κατασχέσεως καί τάς λοιπάς εἰς ὅσας ἦλθε παρανομήσας ὁ παλαιός Ἰσραήλ, περί τόν τρόπον τῆς ἐνεργείας, ἀλλ᾽ οὐ περί τόν

λόγον τῆς ὑπάρξεως, τήν φύσιν καινοτομήσας τῶν καινοτομηθέντων πεποίηκεν ὁ Θεός. Μεθ᾽ ὧν ἁπάντων καί μεθ᾽ ἅ τό δι᾽ ὅ πάντα καί δι᾽ οὗ καινότατον ὄντως μυστήριον τῆς αὐτοῦ δι᾽ ἡμᾶς ἐνανθρωπήσεως ἐπιτελέσας περί τόν τρόπον, ἀλλ᾽ οὐ περί τόν λόγον τήν φύσιν (=1345=) ἐκαινοτόμησε, προσλήψει σαρκός διά μέσης ψυχῆς νοερᾶς, ἀῤῥήτως κυηθείς ἄνευ σπορᾶς, καί γεννηθείς ἀληθῶς ἄνευ φθορᾶς ἄνθρωπος τέλειος, ψυχήν νοεράν μετά σώματος ἐξ αὐτῆς τῆς ἀφράστου συλλήψεως ἐσχηκώς.

ΡΙΒ (112)**. ΟΤΙ ΠΑΣΑ ΦΥΣΙΣ ΤΩ ΟΙΚΕΙΩ ΛΟΓΩ ΔΙΑΠΑΝΤΟΣ ΕΧΕΙ ΤΟ ΤΕΛΟΣ**

Ὅτι πᾶσα φύσις τῷ οἰκείῳ λόγῳ διαπαντός ἔχει τό τέλος.

Πᾶσα γάρ, καθολικῶς εἰπεῖν, φύσις, νοητή τε καί αἰσθητή, ἤγουν ἁπλῆ καί σύνθετος, καθ᾽ οἱονδήποτε τρόπον ἐκ μέρους τήν πρός τό εἶναι τὴς γενέσεως ἀρχήν, οὐδέποτε δέχεται, οὔτε μήν ἐξ ἡμισείας μοίρας ὑφίστασθαι δύναται. Ἀλλ᾽ εἰ μέν σύνθετος φύσις ἐστίν, ὅλη τελεία τελείοις τοῖς οἰκείοις μέρεσιν ἀθρόως συνυφίσταται, μή ἔχουσα πρός ἑαυτήν ἤ πρός ἄλληλα τῶν ἐξ ὧν ἐστι μερῶν τήν οἱανοῦν κατά τόν χρόνον διάστασιν. Εἰ δέ ἁπλῆ φύσις ἐστίν, ἤγουν νοητή, ὡσαύτως ἅμα τοῖς ἑαυτῆς ἀπαραλείπτως λόγοις τελεία τελείοις ἀθρόως συνυφίστασθαι πέφυκε, (≡14E_058≡> χρόνου τινός τό σύνολον αὐτήν τῶν οἰκείων λόγων, οὐδαμῶς διακρίνοντος. Οὔτε γάρ ἦν ποτε καθόλου τις φύσις ἐν τοῖς οὖσιν, οὔτε ἔστιν, οὔτε ἔσται κατά τόν ἑαυτῆς λόγον ὑπάρχουσα ὅπερ νῦν οὐκ ἔστιν, οὔτε μήν νῦν ἐστιν ἤ ἐς ὕστερον ἔσται ὅπερ οὐκ ἦν πρότερον. Ὧν γάρ οἱ λόγοι παρά τῷ Θεῷ ἅμα τῷ εἶναι τό τέλειον ἔσχον, τούτων ἡ κατά τούς οἰκείους λόγους παραγωγή καί οὐσίωσις προσθήκης πάσης καί ἐλλείψεως τῆς πρός τό εἶναι ὅπερ ὄντα τυγχάνει παντελῶς ἐστιν ἀνεπίδεκτος. Ἀλλ᾽ ἀρκεῖν οἶμαι κατά τήν τοῦ λόγου παρέκβασιν καί πρός τούτους τά νῦν ῥηθέντα, πρός τό μή παρασύρεσθαι ῥαδίως εἰς ἀτόπους δόξας παρά τῶν πίστιν ποιουμένων τήν ἐν ταῖς κομψείαις τῶν λόγων τεχνικήν πιθανότητα.

ΡΙΓ (113)**. ΔΙΑ ΤΙ ΣΥΝΗΨΕ ΤΗ ΣΑΡΚΩΣΕΙ ΤΗΝ ΕΚ ΒΑΠΤΙΣΜΑΤΟΣ ΓΕΝΝΗΣΙΝ Ο ΔΙΔΑΣΚΑΛΟΣ**

Διά τί συνῆψε τῇ σαρκώσει τήν ἐκ βαπτίσματος γέννησιν ὁ διδάσκαλος.

Πρός τί δέ βλέπων καί τίνος ἕνεκεν τῇ σαρκώσει συνῆψε τήν ἐκ βαπτίσματος γέννησιν ὁ διδάσκαλος (τοῦτο γάρ εἰς τήν ἐξέτασιν ἔτι τοῦ προκειμένου λείπεται λόγου), συντόμως ὡς ἔμαθον ἐρῶ κατά δύναμιν. Φασίν οἱ τά θεῖα μυστικῶς περιέποντες λόγια, καί τοῖς ὑψηλοτέροις, ὡς εἰκός, αὐτά σεμνύνοντες θεωρήμασι, κατ᾽ εἰκόνα Θεοῦ κατ᾽ ἀρχάς γεγενῆσθαι τόν ἄνθρωπον, ἐπί τῷ πάντως γεννηθῆναι κατά προαίρεσιν πνεύματι, καί προσλαβεῖν τό καθ᾽ ὁμοίωσιν διά τῆς τηρήσεως τῆς θείας ἐντολῆς αὐτῷ προσγενόμενον, ἵνα ᾖ ὁ αὐτός ἄνθρωπος πλάσμα μέν τοῦ κατά φύσιν, Υἱός δέ Θεοῦ καί Θεός διά Πνεύματος κατά χάριν. Οὐ γάρ ἦν δυνατόν ἄλλως Υἱόν ἀποδειχθῆναι Θεοῦ καί Θεόν κατά

τήν ἐκ χάριτος θέωσιν τόν γενόμενον ἄνθρωπον, μή πρότερον κατά προαίρεσιν γεννηθέντα τῷ Πνεύματι, (≡14E_060≡> διά τήν ἐνοῦσαν αὐτῷ φυσικῶς αὐτοκίνητον καί ἀδέσποτον δύναμιν. (=1348=) Ἥντινα θεοποιόν καί θείαν καί ἄϋλον γέννησιν, διά τό προτιμῆσαι τῶν νοουμένων καί ἀδήλων τέως ἀγαθῶν τό κατ᾽ αἴσθησιν τερπνόν καί ἐπίδηλον, παραλιπών ὁ πρῶτος ἄνθρωπος, τήν ἐκ σωμάτων εἰκότως ἀπροαίρετον καί ὑλικήν καί ἐπίκηρον ἔχειν καταδικάζεται γέννησιν, ἀξίως κρίναντος τοῦ Θεοῦ τόν ἑκουσίως τῶν κρειττόνων τά χείρονα προελόμενον, τήν ἐμπαθῆ καί δούλην καί κατηναγκασμένην, καθ᾽ ὁμοιότητα τῶν ἐπί γῆς ἀλόγων τε καί ἀνοήτων κτηνῶν γέννησιν τῆς ἐλευθερίας καί ἀπαθοῦς καί αὐθαιρέτου καί ἁγνῆς ἀνταλλάξαι γεννήσεως, καί τῆς σύν Θεῷ καί θείας καί ἀνεκλαλήτου τιμῆς τήν μετά τῶν ἀνοήτων κτηνῶν ἄτιμον ἀντιλαβεῖν συμπαρενύλησιν. Ἥστινος τόν ἄνθρωπον ἐλευθερῶσαι καί πρός τήν θείαν εὐκληρίαν ἐπαναγαγεῖν βουλόμενος ὁ τήν φύσιν τῶν ἀνθρώπων δημιουργήσας Λόγος, ἄνθρωπος ἐξ ἀνθρώπων ἀληθῶς γίνεταί τε καί γεννᾶται σωματικῶς χωρίς ἁμαρτίας διά τόν ἄνθρωπον, καί βαπτίζεται, τήν εἰς υἱοθεσίαν πνευματικήν ὑπέρ ἡμῶν ἑκουσίως ὑπερχόμενος γέννησιν, ὁ κατ᾽ οὐσίαν Θεός καί Θεοῦ κατά φύσιν Υἱός, εἰς ἀθέτησιν τῆς ἐκ σωμάτων γεννήσεως.

Ἐπειδή τοίνυν δι᾽ ἡμᾶς ὁ ποιήσας ἡμᾶς καί μόνος τῷ Πατρί μετά τοῦ Πνεύματος ὁμόθεος καί ὁμόδοξος Υἱός καί Λόγος καθ᾽ ἡμᾶς ἐξ ἡμῶν ἀληθῶς ἄνθρωπος γίνεται, καί σωματικῶς γεννᾶται χωρίς ἁμαρτίας, καί τήν ἐκ βαπτίσματος εἰς υἱοθεσίαν πνευματικήν ὑπέρ ἡμῶν ὑπελθεῖν καταδέχεται γέννησιν ὁ φύσει Θεός, διά τοῦτο συνῆψε τῇ σαρκώσει, καθώς οἶμαι, τήν ἐκ βαπτίσματος γέννησιν ὁ διδάσκαλος, ὡς εἰς ἀθέτησιν καί λύσιν τῆς ἐκ σωμάτων ἐπινοηθῆναι γεννήσεως. Ὅπερ γάρ ὁ Ἀδάμ (λέγω δέ τήν εἰς θέωσιν ἐκ πνεύματος γέννησιν) ἑκουσίως παραλιπών γεννᾶσθαι σωματικῶς εἰς φθοράν κατεκρίθη, τοῦτο κατά θέλησιν ὡς ἀγαθός καί φιλάνθρωπος ἐν τῷ ἡμῶν παραπτώματι γενόμενος ἄνθρωπος, καί συγκατακρίνας ἡμῖν ἑαυτόν (≡14E_062≡> ἑκουσίως, ὁ μόνος ἐλεύθερος καί ἀναμάρτητος, καί τήν ἐκ σωμάτων γεννηθῆναι καταδεξάμενος γέννησιν, ἐν ᾗ τό κράτος ὑπῆρχε τῆς ἡμῶν κατακρίσεως, τήν ἐν πνεύματι μυστικῶς διωρθώσατο γέννησιν, καί τῆς σωματικῆς γεννήσεως λύσας ὑπέρ ἡμῶν ἐν ἑαυτῷ τά δεσμά δέδωκεν ἡμῖν ἐξουσίαν διά τῆς κατά πνεῦμα γεννήσεως κατά θέλησιν, τέκνα Θεοῦ ἀντί σαρκός καί αἵματος γενέσθαι τοῖς πιστεύουσιν εἰς τό ὄνομα αὐτοῦ. Σάρκωσις οὖν καί σωματική πρότερον τῆς ἐμῆς ἕνεκα κατακρίσεως ἐπί τοῦ Κυρίου παρηκολούθησε γέννησις, καί οὕτως ἡ διά τοῦ βαπτίσματος ἐν πνεύματι παραλειφθεῖσα ἐπηκολούθησε γέννησις, ὑπέρ τῆς ἐμῆς κατά χάριν σωτηρίας καί ἀνακλήσεως, ἤ σαφέστερον εἰπεῖν ἀναπλάσεως· οἷα συνάπτοντος περί ἐμέ τοῦ Θεοῦ τόν τε τοῦ εἶναί μου λόγον καί τόν τοῦ εὖ εἶναι, καί τήν γενομένην παρ᾽ ἐμοῦ τούτων ἑνοποιοῦντος τομήν καί διάστασιν, καί διά τούτων πρός τόν τοῦ ἀεί εἶναι λόγον σοφῶς συνελαύνοντος, καθ᾽ ὅν οὐκέτι τό φέρειν ἔστι καί φέρεσθαι περί τόν ἄνθρωπον, λαβούσης τέλος περί

τό φέρεσθαι τῆς τῶν φαινομένων οἰκονομίας διά τῆς μεγάλης καί κοινῆς ἀναστάσεως, εἰς ἀθανασίαν (=1349=) γεννώσης τόν ἄνθρωπον καθ᾽ ὕπαρξιν ἀναλλοίωτον, δι᾽ ὅν τῶν φαινομένων ἡ φύσις τό εἶναι κατά γένεσιν εἴληφε, καί μεθ᾽ οὗ λήψεται χάριτι τό κατ᾽ οὐσίαν μή φθείρεσθαι.

Ἀλλ᾽ εἰ δοκεῖ τῶν εἰρημένων κατ᾽ ἐπιτομήν ἐπιμνησθέντες τήν δύναμιν, κεφαλαιώσωμεν. Ἔχομεν τήν ἐκ σωμάτων γέννησιν τοῦ Σωτῆρος ἡμῶν κατ᾽ ἐπίνοιαν διαιρεθεῖσαν εἰς τόν προηγούμενον τῆς φύσεως λόγον καί εἰς τόν νῦν αὖθις ὑπάρχοντα καθ᾽ ἡμᾶς, εἰς ὅν ἐτελεύτησε, καί πάλιν εἰς τόν κατά φύσιν τῆς γενέσεως λόγον καί εἰς τόν τῆς γενέσεως τρόπον, προσέτι γε μήν καί εἰς διαφόρους τρόπους τῆς κατ᾽ οὐσίαν γενέσεως τῆς ψυχῆς καί τοῦ σώματος καί προσεπιτούτοις εἰς τήν ἄνευ σπορᾶς σύλληψιν καί τήν ἄνευ φθορᾶς γέννησιν. Ἐφ᾽ ὑμῖν οὖν ἐστιν ὡς κριταῖς δικαίοις τῶν λελεγμένων ἐπιβολῶν ἐγκρῖναι τήν κρείττονα.

ΡΙΔ (114). **..». ΤΙ ΦΑΡΜΑΚΑ ΕΠΙΖΗΤΕΙΣ, ΤΑ ΜΗΔΕΝ ΟΝΗΣΟΝΤΑ; ΤΙ ΚΡΙΤΙΚΟΝ ΙΔΡΩΤΑ..».**
(≡14E_**064**≡>

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό, «Τί φάρμακα ἐπιζητεῖς, τά μηδέν ὀνήσοντα; τί κριτικόν ἰδρῶτα, ἴσως παρεστῶτος τοῦ ἐξοδίου;»

Τοῦτο, καθώς ἔφασκεν ὁ μακάριος γέρων, πρός τούς ὑπερτιθεμένους τό βάπτισμα, τό ῥητόν τέθεικεν ὁ διδάσκαλος, ἐλπίδι τοῦ ζήσεσθαι τό βάπτισμα φιληδονίας ἕνεκεν ὑπερτιθεμένους, καί φησι, "Τί παρ’ ἄλλου δέῃ μαθεῖν τήν ἔξοδον, τοῦ βίου δηλονότι, ἀλλ᾽ οὐχ ὡς ἤδη παρούσης διανοήσῃ; Τί φάρμακα ἐπιζητεῖς, τά μηδέν ὀνήσοντα; τί κριτικόν ἰδρῶτα, ἴσως παρεστῶτος τοῦ ἐξοδίου;" Ἐπειδή γάρ τέσσαρας ἡμέρας κρισίμους εἶναί φασιν ἰατρῶν παῖδες ἐν τοῖς πυρεκτιῶσι, τήν δ΄, καί τήν ζ΄, καί τήν θ΄, καί τήν ια΄, τυχόν δέ καί τήν ιγ΄, (ἐν ταύταις γάρ ἄν εὕρωσιν ἐν τῷ νοσοῦντι, καθώς φασι, νενοτισμένον ἐξ ἰδρῶτος τό σῶμα τεκμηριοῦσι ζήσειν τόν κείμενον), ἵνα οὖν μή τοῦτον ἐκδεχόμενος ὁ νοσῶν τόν ἰδρῶτα κακοβούλως ὑπερτίθεται τό βάπτισμα, περίοδον ἔχειν ἐτῶν, συμβουλεύει πάνυ σοφῶς ὁ διδάσκαλος τῷ κάμνοντι, μή τούτῳ τῷ ἰδρῶτι θαῤῥεῖν καί μάτην ἐρείδεσθαι, δυνατοῦ ὄντος ἀντί τούτου τόν ἐξόδιον ἰδρῶτα συμβῆναι, τόν βοῶντα τῆς παρούσης ζωῆς τό τέλος, ἵνα μή, ὡς εἶπον, διά τοῦτον ἀπατώμενος ὁ νοσῶν τόν ἰδρῶτα τῆς μέν προδήλου καί θείας ζωῆς καί ἀεί διαμενούσης ἀλλοτριούμενος λάθῃ, τήν δέ ἀνθρωπίνην καί ἐπίκηρον καί πάντως λυθησομένην εὑρεθῇ περιέπων, ἀκράτητον κατά φύσιν ὑπάρχουσαν καί ἀεί διά φθορᾶς καί ἀλλοιώσεως ῥέουσαν, καί θᾶττον τάς τῶν ἔχειν νομιζόντων χεῖρας διαφεύγουσαν ἤ ὄναρ ἀνυπόστατον βλέποντα.

ΡΙΕ (115). **..».ΟΥ ΓΑΡ ΠΟΛΛΑΚΙΣ ΧΡΙΣΤΟΣ ΦΙΛΕΙ ΚΛΕΠΤΟΜΕΝΟΣ, ΚΑΙ ΕΙ ΛΙΑΝ ΕΣΤΙ ΦΙΛΑΝΘΡΩΠΟΣ»**
(≡14E_**066**≡>

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό, «Οὐ γάρ πολλάκις Χριστός φιλεῖ κλεπτόμενος, καί εἰ λίαν ἐστί φιλάνθρωπος».

Τί δήποτε, φασίν ἐνταῦθα τοῦ λόγου γενόμενοί τινες, εἰ λίαν ἐστί φιλάνθρωπος ὁ Θεός, καί πηγή φιλανθρωπίας ἀνέκλειπτος, ὥστε μηδ᾽ ὁτιοῦν ὑπό τῶν ἀρυομένων ἐλαττοῦσθαι, μή φιλεῖ κλεπτόμενος; Οὕτω γάρ ἄν μᾶλλον τό φιλάνθρωπον ἐπεδείκνυτο, (=1352=) μή ἐλαττούμενον διά τοῦ διδόναι χώραν τοῖς ἐθέλουσι κλέπτειν, καί μάλιστα κλοπήν σωτήριον, καί ὁσάκις ἄν θέλοιεν. Πρός οὕς Θεοῦ λόγον χαριζομένου φαμέν, ὅτιπερ αὐτό τοῦτο φιλανθρωπίας πλῆρες ἐστι, μᾶλλον δέ αὐτό φιλανθρωπία, καί τούς περί τι κλέπτειν ἐθέλοντας, ἀγαθῆς προμηθείας ἔνδειξις σαφεστάτη, τό μή συγχωρεῖν τοῖς ἐθέλουσι τυγχάνοντος τοῦ σφετερισμοῦ τῆς σωτηρίας ῥᾴστη γένηται κατά τό εἰκός καί ἡ τοῦ δωρηθέντος ἀποβολή, ὡς εὐμαρῶς πάλιν ληφθῆναι δυναμένου, καί τῆς ἐν τῷ καλῷ ἀμεταθέτου καί παγίας ἕξεως ἀμαθεῖς ἀποφανθῶσιν οἱ τυγχάνοντες τῆς δωρεᾶς, εὐέμπτωτον εἰς κακίαν τήν γνώμην ἔχοντες διά τήν εὐμάρειαν τῆς τοῦ καλοῦ κτήσεως, τῷ εὐώνῳ καταφρονουμένης.

PIS (116)**. ΤΟΥ ΑΥΤΟΥ ΕΚ ΤΟΥ ΕΙΣ ΤΟ ΠΑΣΧΑ ... «ΓΥΜΝΟΝ ΤΗ ΑΠΛΟΤΗΤΙ ΚΑΙ ΖΩΗ ΑΤΕΧΝΩ**

Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τό Πάσχα λόγου, εἰς τό, «Γυμνόν τῇ ἁπλότητι καί ζωῇ ἀτέχνῳ, καί δίχα παντός ἐπικαλύμματος καί προβλήματος. Τοιοῦτον γάρ ἔπρεπεν εἶναι τόν ἀπ᾽ ἀρχῆς».

Τί μέν διά τούτων ὁ μέγας οὗτος διδάσκαλος κρυφίως (≡14E_**068**≡> ἀποκαλύπτει, μόνους ἐκείνους εἰδέναι φημί τούς τό ἴσον αὐτῷ τῆς σοφίας εἰληφότας καί τῆς γνώσεως χάρισμα, οἵ διά τό πᾶσαν τήν ἐκ παθῶν καί πάσης ὑλικῆς προσπαθείας λήμην ἀποθέσθαι τῶν νοερῶν ὀμμάτων τήν ἀκτῖνα τῆς ἐν ὅλοις ἀληθοῦς γνώσως χωρεῖν ἐδυνήθησαν, καθ᾽ ἥν τῷ ἁπλῷ κατά τό ἐφικτόν καί ἑνοειδεῖ λόγῳ τόν νοῦν ἀπό τῶν πολλῶν περιστείλαντες πᾶσαν τήν ἐπιστημονικήν τῶν ὄντων ἁπλῇ συνέσει περιέλαβον εἴδησιν. Ἡμῖν δέ οἷς ὁ ζόφος ἔτι τῆς ἀγνοίας ἐπιπροσθεῖ πρός τήν τοῦ ἀληθοῦς κατανόησιν, διά τήν περί μόνα τά σαλευόμενα τοῦ νοῦ συστροφήν, ὥσπερ τυφλός ἄμφω τώ χεῖρε φορυτόν ὕλης ἀφάσσων εὑρίσκει πολλάκις τι τῶν τιμίων, οὕτως ἐπιχειροῦμεν καί ἡμεῖς μετά τῆς ἑαυτῶν ἀσθενείας εἰπεῖν τι περί τοῦ προκειμένου ζητήματος. Καί δή λέγομεν ἄλλο τό παράπαν οὐδέν ἤ ὅπερ ὁ Θεός ἐν χερσίν ἡμῶν παραδῷ κατά τό γεγραμμένον, πρός τό θρέψαι κατά δύναμιν ἡμῶν τούς καλούς πατέρας ὑμᾶς, λέγω δέ τῷ ψηλαφητικῷ λόγῳ τῆς ἐν ἡμῖν νοερᾶς δυνάμεως ἁπλοῦν καί ἀπέριττον θεώρημα καί ἡμῖν σύμμετρον, καί πατρικήν εὐλογίαν προσκαλούμενον, μήπως ἀφυῶς τόν ἀγρόν τῶν αἰσθητῶν αἰσθητῶς κατά τόν Ἠσαῦ περιοδεύοντες στερηθῶμεν διά βραδύτητα τῆς ἑτοίμης τοῦ τρεφομένου πατρός εὐλογίας, ἤ πάλιν δι᾽ ὑψηλοφροσύνην τι μεῖζον τῆς δυνάμεως ἡμῶν ἐπιζητοῦντες ἐκ τῶν οἰκούντων ἔτι τό ὄρος ἡμῶν τῆς θεωρίας, τρωθῶμεν κατά τόν Ἰσραήλ, περί ὧν ὁ νόμος φησίν ὅτι παραβιασάμενοί τινες ἀνέβησαν εἰς τό ὄρος, καί ἐξῆλθεν ὁ Ἀμορῥαῖος ὁ οἰκῶν ἐν τῷ ὄρει ἐκείνῳ καί ἐτίτρωσκεν αὐτούς.

Ὑπονοῶ τοίνυν ὅτι τήν διαφοράν τῆς (=1353=) πρό τοῦ παραπτώματος κράσεως τοῦ ἀνθρωπίνου σώματος ἐν τῷ προπάτορι (≡14E_070≡> Ἀδάμ πρός τήν νῦν θεωρουμένην ἐν ἡμῖν καί κρατοῦσαν ἐνδείξασθαι βουλόμενος ταῦτά φησιν ὁ διδάσκαλος, ὡς τότε δηλαδή τοῦ ἀνθρώπου ἐναντίαις καί φθαρτικαῖς ἀλλήλων κατά τήν κρᾶσιν τοῦ σώματος μή διελκομένου ποιότησιν, ἀλλ᾽ ὡσαύτως ἔχοντος δίχα ῥοῆς καί ἀπορῥοῆς, καί τῆς ἐφ᾽ ἑκάτερα τούτων κατά τήν ποιοτήτων ἐπικράτειαν συνεχοῦς ἀλλοιώσεως ἐλευθέρου τυγχάνοντος, οἷα δή τῆς κατά χάριν ἀθανασίας οὐκ ἀμοιροῦντος, καί τήν νῦν μαστιγοῦσαν αὐτόν τοῖς ἑαυτῆς κέντροις φθοράν οὐκ ἔχοντος, ἀλλ᾽ ἑτέραν δηλονότι πρέπουσαν αὐτῷ κρᾶσιν τοῦ σώματος, ἀμάχοις καί ἁπλαῖς ποιότησι συνεχομένην. Καθ᾽ ἥν γυμνός ἦν ὁ πρῶτος ἄνθρωπος, οὐχ ὡς ἄσαρκος καί ἀσώματος, ἀλλ᾽ ὡς τήν παχυτέραν τήν σάρκα ποιοῦσαν καί θνητήν καί ἀντίτυπον κρᾶσιν οὐκ ἔχων. Κατά τοῦτον τόν μέγαν διδάσκαλον ἀτέχνως τε ἔζη μή διαπνεόμενος τήν ἅπαξ οὐσιωδῶς δοθεῖσαν αὐτῷ φυσικήν εὐεξίαν, καί περιβολῆς ὑπῆρχεν ἀπροσδεής, διά τε τήν ἐνοῦσαν ἀπάθειαν αἰσχύνην μή ὑφορώμενος καί τό μή κρυμοῖς καί θάλπεσιν αὐτόν ὑποκεῖσθαι, δι᾽ ἅ μάλιστα τῆς τε τῶν οἴκων καί τῶν ἐσθημάτων περιβολῆς ὁ τρόπος τοῖς ἀνθρώποις ἐπινενόηται.

PIZ (117)**. ΑΛΛΗ ΠΕΡΙ ΑΥΤΟΥ ΘΕΩΡΙΑ**

Ἄλλη περί αὐτοῦ θεωρία.

Ἤ μήποτε καί ἐκ τῶν νῦν περί τόν ἄνθρωπον θεωρουμένων τά τότε περί αὐτόν ὄντα τῇ περιαιρέσει τῶν νῦν περί αὐτόν ὄντων παραδείκνυσιν ὁ διδάσκαλος. Κινεῖται γάρ νῦν ὁ ἄνθρωπος, ἤ περί φαντασίας ἀλόγους παθῶν ἐξ ἀπάτης διά φιληδονίαν, ἤ περί λόγους τεχνῶν ἐκ περιστάσεως διά τήν χρείαν, ἤ περί φυσικούς λόγους ἐκ τοῦ νόμου τῆς φύσεως διά μάθησιν, ὧν οὐδέν κατ᾽ ἀρχήν εἰκότως ἀξ ἀνάγκης εἵλκε τόν ἄνθρωπον, (≡14E_072≡> ὑπεράνω πάντων γενόμενον. Οὕτω γάρ ἔπρεπεν εἶναι τόν ἀπ᾽ ἀρχῆς, μηδενί τό σύνολον περισπώμενον, τῶν ὑπ᾽ αὐτόν, ἤ περί αὐτόν, ἤ κατ᾽ αὐτόν, καί πρός τελείωσιν ἑνός μόνου προσδεόμενον, τῆς πρός τόν ὑπέρ αὐτόν, φημί δέ τόν Θεόν, καθ᾽ ὅλην τήν ἀγαπητικήν δύναμιν ἀσχέτου κινήσεως. Ἀπαθής γάρ χάριτι ὤν ἀπάτην παθῶν φαντασίας δι᾽ ἡδονῆς οὐ προσίετο· καί ἀπροσδεής ὑπάρχων τῆς περί τέχνας περιστατικῆς ἀνάγκης διά τήν χρείαν ἐλεύθερος ἦν· καί σοφός ὤν τῆς περί τήν φύσιν θεωρίας ὑπεράνω καθειστήκει διά τήν γνῶσιν. Οὐδέν οὖν εἶχεν ὁ πρῶτος ἄνθρωπος μεταξύ Θεοῦ καί αὐτοῦ προβεβλημένον πρός εἴδησιν, καί κωλύον αὐτοῦ τήν δι᾽ ἀγάπης αὐθαίρετον κατά τήν πρός Θεόν κίνησιν γενησομένην συγγένειαν, καί διά τοῦτο "γυμνός τῇ ἁπλότητι" προσηγορεύθη τῷ διδασκάλῳ, ὡς ὑπεράνω πάσης τῆς κατά φύσιν ὑπάρχων ζητήσεως, καί "ζωῇ τῇ ἀτέχνῳ», ὡς πάσης τεχνῶν ἐνδεοῦς καθαρεύων ζωῆς, καί "δίχα παντός ἐπικαλύμματος καί προβλήματος», οἷα τῆς πρός τά αἰσθητά τῶν αἰσθήσεων ἐμπαθοῦς συμπλοκῆς τυγχάνων ἐλεύθερος, εἴς ὑπήχθη δικαίως ὕστερον, ἐλλείψας τήν ἔλλειψιν, (=1356=) καί τοῦ πλήρης εἶναι τό κενός πάντων γενέσθαι αὐθαιρέτως

ἑλόμενος, κάτω γενόμενος ὧν ὑπεράνω φυσικῶς ὑπῆρχε γεγενημένος.

ΡΙΗ (118)**. ΑΛΛΗ ΠΕΡΙ ΑΥΤΟΥ ΘΕΩΡΙΑ**

Ἄλλη περί αὐτοῦ θεωρία.

Ἤ μήποτε "γυμνός», ὥς φησιν ὁ διδάσκαλος, τῆς περί φύσιν ποικίλης θεωρίας καί γνώσεως, καί "ζωῇ τῇ ἀτέχνῳ», τῆς περί πρᾶξιν καί ἀρετήν πολυτρόπου μεθοδείας ὑπάρχων ἐκτός, κατά τήν ἕξιν ἔχων τούς τῶν ἀρετῶν ἀμολύντους λόγους, καί "δίχα παντός ἐπικαλύμματος καί προβλήματος», τῆς ἐπ᾽ αἰσθήσεσι τῶν φαινομένων διανοίας πρός κατανόησιν τῶν (≡14E_**074**≡> θείων, προηγουμένως οὐ χρῄζων, μόνην τήν ἁπλῆν τῆς ἑνοειδοῦς καί ἁπλῆς καί συνεκτικῆς τῶν μετά Θεόν ἀρετῆς τε καί γνώσεως ἔχων προβολήν, τῆς ἐπ᾽ ἐνεργείᾳ μόνης κινήσεως πρός ἔκφανσιν αὐθαίρετον χρῄζουσαν. Ἀμέλει γοῦν ὅσοι φιλοσόφῳ λόγῳ τῆς τοῦ προπάτορος ἐγείρειν ἑαυτούς βούλονται παραπτώσεως, πρῶτον ἀπάρχονται τῆς τῶν παθῶν παντελοῦς ἀφαιρέσεως, εἶθ᾽ οὕτως τῆς περί τούς λόγους τῶν τεχνῶν ἀσχολίας, καί τέλος τήν φυσικήν ὑπερκύψαντες θεωρίαν εἰς τήν ἄϋλον παρακύπτουσι γνῶσιν, τήν μή ἔχουσαν παντελῶς αἰσθήσει τυπουμένην μορφήν, ἤ νόημα προφορᾷ λόγου χωρούμενον, καθώς ἐξ ἀρχῆς τόν πρῶτον ἄνθρωπον ἐποίησεν ὁ Θεός, γυμνοί τῇ ἁπλότητι τῆς γνώσεως καί τῇ ἀπορισπάστω ζωῇ, καί τῇ νεκρώσει τοῦ νόμου τῆς σαρκός γενόμενοι. Ἦν μέντοι καί κατ᾽ ἄλλον τρόπον ὑψηλοτέρως θεωρῆσαι τό προκείμενον ἄπορον, ἀλλά παρείσθω τά νῦν δι᾽ ἥν ὁ ἀρχόμενος τοῦ λόγου προεῖπον αἰτίαν.

ΡΙΘ (119)**. ..».ΩΣ ΗΛΙΟΝ ΔΙΚΑΙΟΣΥΝΗΣ, Ἤ ΕΚΕΙΘΕΝ ΟΡΜΩΜΕΝΟΝ, Ἤ ΤΩ ΟΡΩΜΕΝΩ ΠΕΡΙΓΡΑΠΤΟΝ..».**

Τοῦ αὐτοῦ λόγου εἰς τό· «Ἐνιαύσιον δέ, ὡς ἥλιον δικαιοσύνης, ἤ ἐκεῖθεν ὁρμώμενον, ἤ τῷ ὁρωμένῳ περιγραπτόν».

Πολλαί τοῦ Σωτῆρος ἡμῶν εἰσιν αἱ προσηγορίαι, καί πολύτροπος ὁ ἐφ᾽ ἑκάστῃ κατά τήν αὐτῆς ἐπίνοιαν τῆς κατά θεωρίαν ἀναγωγῆς καθέστηκεν τρόπος, διά τό πολλάς κατά τήν φυσικήν θεωρίαν τοῦ παραδειγματικῶς εἰς προσηγορίαν τοῦ Κυρίου λαμβανομένου πράγματος ἐπιδέχεσθαι δύνασθαι θεωρημάτων ἐπιβολάς. Ὥσπερ ἀμέλει καί τό νῦν προκείμενον ἡμῖν ἄπορον ἔχει. Πολλούς γάρ ὅσους οὐδέπω δυνατοῦ τυγχάνοντος τοῦ λόγου θεωρημάτων περί τοῦ ἡλίου τρόπους ἐκθέσθαι διά (≡14E_**076**≡> τό σύντομον, καθ᾽ ἥν ὁ διδάσκαλος αὐτό ἐπίνοιαν ἐθεώρησε, καί ἡμεῖς θεωρήσωμεν, τά συνεπτυγμένως αὐτῷ δηλονότι ῥηθέντα κατά δύναμιν ἐξαπλοῦντες. Ἐνιαυτός τοίνυν ἐστί κατά τούς ἁγίους καί σοφούς ἡμῶν διδασκάλους ἡ τοῦ ἡλίου ἀπό τοῦ αὐτοῦ σημείου εἰς τό αὐτό σημεῖον ἀποκατάστασις, τῆς κατά χρόνον πενταπλῆς ἰδιότητος περιεκτική. Ὁ γάρ χρόνος εἰς ἡμέραν (=1357=) καί ἑβδομάδα καί μῆνα καί καιρόν καί ἐνιαυτόν μερίζεσθαί τε καί συνάγεται· καί ὁ ἐνιαυτός ὡσαύτως, εἰς ὥραν καί ἡμέραν καί ἑβδομάδα καί μῆνα καί καιρόν, συνεχοῦς καί ἀδιαστάτου τῆς κατ᾽

αὐτόν μενούσης κινήσεως, περί ἥν αἱ κατά τήν ἀλλοίωσιν διαιρέσεις θεωρούμεναι τήν συνεχῆ καί ἀδιάστατον ἠρίθμησαν τοῦ χρόνου κίνησιν.

Εἰ δή τούτῳ τῷ τρόπω παρ᾽ ἡμῖν κατά τήν τοῦ ἡλίου φοράν ἐνιαυτός γίνεται, ἐνιαυτός δηλαδή Κυρίου δεκτός ἐστι πάντως, ὡς γέγραπται, κατά τόν τῆς ἀλληγορίας τρόπον, ἡ πᾶσα τῶν αἰώνων παράτασις, ἀπ᾽ ἀρχῆς ἧς εὐδόκησεν ὁ Θεός οὐσιῶσαι τά ὄντα, καί τοῖς μή οὖσιν ὕπαρξιν δοῦναι, καί διά τῆς προνοίας, ὥσπερ τις νοητός ἥλιος τῆς πρός διαμονήν συνεχούσης τό πᾶν δυνάμεως, συγκαταβατικῶς ἐφεῖναι τήν ἀκτίνα ἀνεχόμενος, ποικίλαι τούς τρόπους ἀξιώσας πρός τελεσφόρησιν ὧν τοῖς οὖσιν οἰκείων κατέσπειρεν ἀγαθῶν μέχρι τῆς πάντων ἀποπερατώσεως τῶν αἰώνων, καθ᾽ ἥν συλλέξει τῆς οἰκείας σπορᾶς τούς καρπούς ζιζανίων ἀμιγεῖς καί πάσης ἀχυρώδους ἄχνης καί συμφορήσεως καθαρούς, καί ὁ σύμπας τῆς τῶν κινουμένων κινήσεως περαιωθήσεται λόγος, λαβόντων τῶν ἀξίων τήν ἐπηγγελμένην τῆς θεώσεως ἐσχάτην μακαριότητα. " Ἥλιος" οὖν "δικαιοσύνης" ὁ Κύριος προσηγόρευται, ὡς ποιητής καί συντελεστής τῶν αἰώνων, καί ὡς ἀρχή πάντων καί τέλος, καί τῆς πενταπλῆς κατά τήν πρόνοιαν τῶν προνοουμένων σοφῆς εὐταξίας δημιουργός, καί ὡς πληρῶν τά πάντα φωτός ἀϊδίου ταῖς ἀνεκλείπτοις ἐπιβολαῖς τῆς ἀγαθότητος, καί τούς εὐρύνοντας πρός ὑποδοχήν τῆς αὐτοῦ μακαρίας ἀκτῖνος τούς ἑαυτῶν νοητούς πόρους πεπείρους καί ἐδωδίμους τῷ Θεῷ (≡14E_078≡> καί Πατρί ποιούμενος. Ὁ αὐτός δέ καί ἐνιαυτός ἐστι Κυρίου δεκτός, ὡς διά πάντων τῶν σωζομένων πληρούμενος κατά τήν ὑπ᾽ αὐτοῦ νοητῶς γινομένην πεντάτροπον κίνησιν, ὡς Ἡλίου δικαιοσύνης, ἥντινα νοήσει πάντως ὁ διά τῆς τῶν φαινομένων ἀκριβοῦς κατά λόγον φυσικῆς θεωρίας τήν τῶν νοουμένων πνευματικήν ἐπιστήμην συλλεγόμενος. Ἐκεῖθεν δέ "ὁρμώμενος" εἴρηται τῷ διδασκάλῳ, " ἤ τῷ ὁρωμένῳ περιγραπτός», ἤ ὡς φῶς ἐκ φωτός, καί Θεός ἀληθινός ἐκ Θεοῦ κατ᾽ οὐσίαν ἀληθινοῦ τοῦ Πατρός γεννητῶς ὁρμώμενος, ἤ ὡς ἄνθρωπος ὁ αὐτός τῷ καθ᾽ ἡμᾶς ὁρωμένῳ τῆς φύσεως εἴδει περιγραπτός, καθάπερ ἥλιος ὁ ἐκ τοῦ οὐρανοῦ ὁρμώμενος τῷ φαινομένῳ δισκοειδεῖ σώματι περιγέγραπται.

PK (120). ..». **ΘΑΥΜΑΣΤΟΝ ΟΥΔΕΝ ΕΙ ΜΑΛΙΣΤΑ ΚΑΤ' ΟΙΚΟΝ ΕΚΑΣΤΟΝ ΕΠΙΖΗΤΕΙΤΑΙ ΤΟ ΠΡΟΒΑΤΟΝ»**

Ἐκ τοῦ αὐτοῦ λόγου εἰς τό· «Θαυμαστόν οὐδέν εἰ μάλιστα κατ᾽ οἶκον ἕκαστον ἐπιζητεῖται τό πρόβατον».

Εἴποι δ᾽ ἄν τις, καί εὐλόγως, ὡς οἶμαι, τυχόν, Εἴπερ εἷς ἐστιν ὁ Χριστός ὁ διά νόμου καί προφητῶν καί τῆς κατά τήν κτίσιν μεγαλειότητος μυστικῶς (=1360=) τοῖς ἀκούειν πνευματικῶς καί ὁρᾷν δυναμένοις κηρυττόμενος, πῶς τόν τύπον ὁ νόμος ἐπιτελῶν τοῦ Χριστοῦ πολλά πρόβατα κελεύει θύεσθαι κατ᾽ οἴκους πατριῶν; Πρός ὅν φαμεν, ὡς εἴπερ αὐτόν δεξοίμεθα τόν λόγον, νοητῶς τῶν ὤτων τῆς ψυχῆς καί τῶν ὀμμάτων ἁπτόμενον, καί διανοίγοντα ταῦτα πρός ὑποδοχήν μέν καί θεωρίαν τῶν αὐτοῦ μυστηρίων, ἐκδίκησιν δέ πάσης παρακοῆς καί ἀποστροφήν πάσης ματαιότητος,

γνοίημεν πάντως τό μυστικόν βούλημα τῆς ἁγίας Γραφῆς, τῷ προκειμένῳ συνάψαντες ὅμοιον ἐκ τοῦ ἁγίου Ἀποστόλου φάσκοντος, τό· Οὐδέν ἔκρινα εἰδέναι ἐν ὑμῖν, εἰ μή (≡14E_080≡> Χριστόν Ἰησοῦν, καί τοῦτον ἐσταυρωμένον. Ὥσπερ οὖν ἕκαστος τῶν πεπιστευκότων τῷ Χριστῷ κατά τήν οἰκείαν δύναμιν καί τήν ὑποκειμένην αὐτῷ τῆς ἀρετῆς ἕξιν τε καί ποιότητα σταυροῦταί τε καί συσταυροῖ ἑαυτῷ τόν Χριστόν, Χριστῷ δηλονότι πνευματικῶς συσταυρούμενος. Ἄλλος γάρ κατ᾽ ἄλλον ἀρετῆς τρόπον ἑαυτῷ κατάληλον ποιεῖται τήν σταύρωσιν· ὁ μέν μόνῃ σταυρούμενος τῇ κατ᾽ ἐνέργειαν ἁμαρτίᾳ, καί ταύτην νεκρῶν τῷ φόβῳ τοῦ Θεοῦ προσηλωμένην· ὁ δέ καί αὐτοῖς τοῖς πάθεσι σταυρούμενος καί τάς δυνάμεις τῆς ψυχῆς ἐξιώμενος· ὁ δέ καί αὐταῖς τῶν παθῶν ταῖς φαντασίαις, οὐκ ἐῶν τάς αἰσθήσεις ἀφέτους, πρός ὑποδοχήν τινος τῶν κατά ταῦτα μετεωρισμῶν· ὁ δέ καί τοῖς περί τά πάθη λογισμοῖς καί ἐνθυμήμασιν· ὁ δέ καί τῇ κατ᾽ αἴσθησιν ἀπάτῃ· ἄλλος δέ καί τήν πρός τά αἰσθητά τῶν αἰσθήσεων διά τῆς φυσικῆς οἰκειότητος σταυρούμενος ἀποτίθεται σχέσιν· ἄλλος δέ καί πᾶσαν καθολικῶς αἰσθητικήν τῷ σταυρῷ κατασβέννυσι κίνησιν, πρός τό μηδέν ἔχειν ἐν ἑαυτῷ τό παράπαν φυσικῶς ἐνεργούμενον· ἄλλος δέ καί αὐτῆς τῆς κατά νοῦν ἀποπαύεται παντελῶς ἐνεργείας, καί ἵνα τό μεῖζον εἴπω, ὁ μέν τῇ πρακτικῇ σταυρούμενος φιλοσοφίᾳ δι᾽ ἀπαθείας, καί πρός τήν ἐν πνεύματι φυσικήν θεωρίαν ὥσπερ ἀπό τινος σαρκός τοῦ Χριστοῦ πρός τήν ψυχήν αὐτοῦ μεταβαίνων, ὁ δέ καί τῇ φυσικῇ θεωρίᾳ νεκρούμενος, διά τῆς ἀποβολῆς τῆς κατά νοῦν περί τά ὄντα συμβολικῆς θεωρίας, καί πρός τήν ἑνοειδῆ καί ἁπλῆν τῆς θεολογικῆς ἐπιστήμης μυσταγωγίαν ὥσπερ ἀπό τινος ψυχῆς τοῦ Χριστοῦ πρός τόν νοῦν αὐτοῦ μετατιθέμενος, ὁ δέ καί ἀπό ταύτης εἰς τήν δι᾽ ἀποφάσεως παντελοῦς ἄῤῥητον ἀφαιρετικήν ἀοριστίαν ὥσπερ ἀπό τινος ψυχῆς τοῦ Χριστοῦ νοός πρός τήν αὐτοῦ θεότητα μυστικῶς ἀναγόμενος·

Ἕκαστος, ὡς ἔφην, κατά τήν ἑαυτοῦ δύναμιν, καί τήν κατ᾽ (≡14E_082≡> ἀξίαν χορηγουμένην αὐτῷ τάς ὑψηλάς διά τῆς πρός πάντα νεκρώσεως ἀναβάσεις ποιούμενον, οὕτως καί τόν θεῖον ἀμνόν ἕκαστος ἡμῶν ὡς ἐν οἰκίᾳ τινί τῷ ἰδίῳ τάγματι τῆς κατ᾽ ἀρετήν ἁρμοζούσης αὐτῷ καταστάσεως θύει τε τόν ἀμνόν καί μεταλαμβάνει τῶν αὐτοῦ σαρκῶν, καί ἐμφορεῖται τοῦ Ἰησοῦ. Ἑκάστου γάρ ἴδιος γίνεται ἀμνός Χριστός Ἰησοῦς, ὡς ἕκαστος χωρεῖν τε καί ἐσθίειν αὐτόν δύναται, ἴδιος, Παύλου τοῦ μεγάλου τῆς ἀληθείας (=1361=) κήρυκος, καί ἰδιοτρόπως ἴδιος ἑκάστου τῶν ἁγίων κατά τό μέτρον τῆς ἐν ἑκάστῳ πίστεως, καί τήν ἐπιχορηγουμένην χάριν τοῦ Πνεύματος, ᾧ μέν οὕτως, ᾧ δέ οὕτως, εὑρισκόμενος ὅλος ὅλῳ, πᾶσι δέ πάντα γινόμενος.

ΡΚΑ (121). ..».... **ΜΕΤΑ ΤΩΝ ΕΝΔΟΣΘΙΩΝ ΚΑΙ ΤΩΝ ΚΡΥΦΙΩΝ ΤΟΥ ΝΟΥ ΒΡΩΘΗΣΕΤΑΙ ΚΑΙ ΕΙΣ ΠΕΨΙΝ ..».**

Ἐκ τοῦ αὐτοῦ λόγου εἰς τό· «Ὅσον μέν σαρκῶδες τοῦ λόγου καί τρόφιμον, μετά τῶν ἐνδοσθίων καί τῶν κρυφίων τοῦ νοῦ βρωθήσεται καί εἰς πέψιν πνευματικήν ἀναδοθήσεται».

Ὁ πᾶσαν μετά σοφίας φύσιν ὑποστήσας Θεός, καί πρώτην ἑκάστῃ τῶν λογικῶν οὐσιῶν δύναμιν τήν αὐτοῦ γνῶσιν κρυφίως ἐνθέμενος, δέδωκε καί ἡμῖν τοῖς ταπεινοῖς ἀνθρώποις, ὡς μεγαλόδωρος Δεσπότης, κατά φύσιν τόν εἰς αὐτόν πόθον καί ἔρωτα, συνεπιπλέξας αὐτῷ φυσικῶς τοῦ λόγου τήν δύναμιν, ἐφ᾽ ᾧ δυνηθῆναι μετά ῥᾳστώνης γνῶναι τούς τρόπους τῆς τοῦ πόθου πληρώσεως, καί μή παρασφαλέντας διαμαρτεῖν οὗ τυχεῖν ἀγωνιζόμεθα. Κατά τοῦτον οὖν κινούμενοι τόν πόθον (≡14E_084≡> περί τε τῆς ἀληθείας αὐτῆς καί τῆς εὐτάκτως τοῖς ὅλοις ἐμφαινομένης σοφίας τε καί διοικήσεως ζητεῖν ἐναγόμεθα ἐκείνου τυχεῖν, διά τούτων γλιχόμενοι, οὗ χάριν τόν πόθον ἐλάβομεν. Καί τοῦτο μυστικῶς ἐγνωκότες οἱ φιλομαθεῖς καί φιλότιμοι τῆς ἀληθείας ἐρασταί μίαν ἐστήσαντο σχολήν καί προσεδρείαν ἑαυτοῖς τήν περί τούτου φιλόπονον ἄσκησιν, ἀκριβῶς ὑπ᾽ αὐτῆς τῶν πραγμάτων τῆς ἀληθοῦς κατανοήσεώς τε καί ἀκολουθίας μαθόντες ὡς, εἴπερ κατά τόν αἰῶνα τοῦτον ποσῶς δι᾽ εὐσεβῶν θεωρημάτων τήν μέλλουσαν ἀλήθειαν εἰκονίσαιντο, καί τόν πόθον πληροφορήσουσιν, ἑτοιμοτέραν ὡς τοῖς ἐνταῦθα καλῶς γυμνασθεῖσαν τήν ψυχήν ἐσχηκότες, ἀκμητί μετά τόν βίον τοῦτον ἐπί τήν μέλλουσαν ἀλήθειαν μεταβήσονται, σκιαγραφηθεῖσαν αὐτοῖς ἤδη καλῶς διά τῶν θειοτέρων νοημάτων, ἄγοντος αὐτούς ἐπ᾽ αὐτήν δηλαδή τήν ἀλήθειαν τοῦ Θεοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καί ἁπλῆν καί ἀρίδηλον καί δίχα πάσης ἀπορίας, συμβολικῆς τε ποικιλίας καί πάσης αἰνιγματώδους ἀσαφείας, αὐτοῖς παραδεικνύντος, ἀποδρασάσης αὐτοῖς ὥσπερ ἐπί τῆς πρακτικῆς ἀρετῆς ὀδύνης καί λύπης καί στεναγμοῦ διά τήν ἀπάθειαν, οὕτω καί ἐπί τῆς θεωρητικῆς γνώσεως, ἀσαφείας πάσης καί ἀπορίας, διά τήν σοφίαν, προστεθείσης αὐτοῖς, ἐντεῦθεν λαβοῦσι τάς ὑποτυπώσεις αὐτῆς, τηνικαῦτα γυμνῆς τῆς ἀληθείας. Παντί γάρ, φησί, τῷ ἔχοντι, δηλονότι τόν περί τῶν μελλόντων πόθον, δοθήσεται, καί προτεθήσεται πάντως ἡ τῶν αἰωνίων ἀγαθῶν ἀπόλαυσις.

Πλούσιος γάρ ὑπάρχων ὁ Θεός ἡμῶν οὐδέποτε λήγει τοῖς ἀγαπῶσιν αὐτόν τά θεῖα διανέμων δῶρα τῆς γνώσεως, ἅπερ οὐδ᾽ ὀνομάζειν κατά τόν αἰῶνα τοῦτον δυνάμεθα, διά τό αὐτῶν ὕψος καί μέγεθος, εἴπερ ἀληθεύει φάσκων περί τῆς ἐσχάτης μακαριότητος ὁ μέγας Ἀπόστολος ὑπεράνω παντός ὀνόματος ὀνομαζομένου αὐτήν εἶναι, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλά καί ἐν τῷ μέλλοντι τήν μετά πᾶσαν πάντων τῶν χαρισμάτων (≡14E_086≡> διανομήν τε καί (=1364=) ἀνάβασιν δειχθησομένην τῶν ἀγαθῶν ἀκροτάτην κορυφήν αἰνιττόμενος, τήν μηδενί λόγῳ ἤ νῷ ῥηθῆναι ἤ γνωσθῆναι δυναμένην, τόν τε κατά τόν αἰῶνα τοῦτον ἡμῖν ἐφικτῶν, τῶν τε κατά τόν μέλλοντα δειχθησομένων, καί ὀνομασθῆναι καί γνωσθῆναι τυχόν ἡμῖν δυναμένων. Ἀεί γάρ ὁ διεληλυθώς τούς οὐρανούς Ἰησοῦς, ὁ τοῦ Θεοῦ Λόγος, καί ὑπεράνων πάντων τῶν οὐρανῶν γενόμενος, τούς ἀκολουθοῦντας αὐτῷ διά πράξεως καί θεωρίας μεταβιβάζει τε καί μετατίθησιν ἀπό τῶν ἡττόνων ἐπί τά κρείττονα, καί ἀπό τούτων πάλιν ἐπί τά ἔτι τούτων ἀνώτερα, καί ἁπλῶς εἰπεῖν, ἐπιλείψει με ὁ χρόνος λέγοντα τάς θείας τῶν ἁγίων ἀναβάσεις τε καί ἀποκαλύψεις κατά τήν ἀπό

δόξης εἰς δόξαν ἀλλοίωσιν, ἕως ἕκαστος τήν ἐν τῷ ἰδίῳ τάγματι, ἁρμόζουσαν δέξοιτο θέωσιν.

Τόν τοίνυν προῤῥηθέντα περί Θεοῦ φυσικόν πόθον ἔχοντας ἡμᾶς εἰδώς οὗτος ὁ μέγας διδάσκαλος προτρέπει τε πάντας καί καλεῖ διά τῆς αὐτοῦ διδασκαλίας πρός τήν πνευματικήν βρῶσιν τοῦ ὑπέρ ἡμῶν σφαγιασθέντος ἀμνοῦ, φυλάξαι τε εὐκρινῶς καί εὐχρήστως ὑποτίθεται τῶν αὐτοῦ, τοῦ ἀμνοῦ δηλονότι, μελῶν τήν ἁρμονίαν ἄθραυστον καί ἀσύμφυρτον, ἵνα μή κατακριθῶμεν ὡς διασπῶντες καί διασπαράττοντες τήν εὔθετον ἁρμονίαν τοῦ θείου σώματος, ἤ θρασέως, ὡς ὑπέρ δύναμιν, ἤ ἀνιέρως, ὡς παρά δύναμιν, τοῦ ἀμνοῦ καί Λόγου τάς σάρκας ἐσθίοντες· ἀλλ᾽ ἕκαστος κατά τήν αὐτοῦ δύναμίν τε καί τάξιν, καί τήν ἐπιβάλλουσαν αὐτῷ χάριν τοῦ Πνεύματος, μεταλαμβανέτω τοῦ θείου Λόγου κατά τήν ἑκάστου μέλους ἐπίνοιαν. Οἷον κεφαλῆς μέν ὁ ἐξ ἀναποδείκτων ἀρχῶν ἀφέτους παντελῶς ἔχουσαν τούς περί θεολογίας λόγους πίστιν κεκτημένος μεταλήψεται, ἐξ ἧς τό πᾶν σῶμα τῶν ἀρετῶν τε καί τῶν γνώσεων συμβιβαζόμενον αὔξει τήν πνευματικήν αὔξησιν. Ὤτων δέ μεταλήψεται ὁ τούς θείους λόγους πνευματικῶς μετ᾽ ἐπιστήμης ὑποδεχόμενος, καί (≡14E_088≡> εὐπειθής καί ὑπήκοος Θεῷ δι᾽ αὐτούς μέχρι θανάτου διά τῶν ἔργων γινόμενος· ὀφθαλμῶν δέ, ὁ τήν κτίσιν πνευματικῶς κατανοῶν, καί πάντας τούς κατ᾽ αἴσθησίν τε καί νοῦν λόγους ἀπροσκόπως εἰς μίαν δόξης Θεοῦ συνάγων ἐκπλήρωσιν. Στήθους δέ μεταλήψεται ὁ τήν καρδίαν θεολογικῶν πληρώσας θεωρημάτων, κατά τόν μέγαν εὐαγγελιστήν Ἰωάννην, καί πηγῆς ἀεννάου δίκην τόν περιεκτικόν τῆς τοῦ παντός προνοίας εὐσεβῶς προχέων τοῖς μανθάνουσι λόγον τε καί τρόπον. Χειρῶν δ᾽ αὖ μεταλαμβάνει δεόντως ὁ μηδέν τῶν κατ᾽ ἐντολήν ἀνειμένως ἔργων καί ἠμελημένως ἐπιτελῶν, ἀλλ᾽ ὅλην ἔχων ἑτοίμην καί εὔτονον πρός ἐκπλήρωσιν τῶν θείων νόμων τῆς ψυχῆς τήν κατά τήν πρᾶξιν ἐνέργειαν· κοιλίας δέ, ὁ τό γόνιμον τῆς ψυχῆς ἀείβλυστον ἔχων, καί πληθυνόμενος τοῖς πνευματικοῖς θεωρήμασι, καί ἀκατάσβεστον τόν καυστικώτατον τῆς πρός τήν θείαν συνουσίαν ἀπαθοῦς ἐφέσεως ἔρωτα κεκτημένος. Ἐνδοσθίων δέ μεταλήψεται προσηκόντως, ὁ τῇ κρυφιωτέρᾳ ζητήσει τε καί γνώσει τοῦ νοῦ τά βάθη τοῦ Θεοῦ διερευνώμενος, καί ἀποῤῥήτων ἐμφορούμενος μυστηρίων.

(=1365=)Τολμήσει τι μεῖζον ὁ λόγος. Τῶν κάτω τοῦ Λόγου μερῶν μεταλαμβανέτω σωφρόνως, ὁ λογικῶς κατά τῆς ὕλης ἱστάμενος, καί παντάπασιν ἀμόλυντον μετά τῆς ψυχῆς τήν σάρκα διατηρῶν, καί ὅλον ἀπαραλείπτως αὐτῇ τόν Λόγον ταῖς ἀρεταῖς διαμορφῶν σάρκα γενόμενον. Μηρῶν δέ μεταλήψεται ὁ τόν λόγον ἐπικείμενον ἔχων τῷ τῆς ψυχῆς παθητικῷ μέρει, καί παντελῶς ἐκτέμνων αὐτῆς τήν πρόσυλον κίνησιν· γονάτων δέ, ὁ πρός τούς κειμένους καί ἀσθενοῦντας τῇ πίστει συμπαθῶς κατά πρόνοιαν ἐπικλινόμενος, καί τήν πρός ἡμᾶς τοῦ Λόγου μιμούμενος συγκατάβασιν. Κνημῶν δέ καί ποδῶν μεταλαμβανέτω πρός τούτοις, ὁ ἐπί τῆς πίστεως καί τῆς ἀρετῆς καί τῆς γνώσεως ἀσαλεύτους ἔχων τῆς ψυχῆς τάς βάσεις καί ἀκλονήτους, καί κατά σκοπόν πρός τό βραβεῖον τῆς ἄνω

κλήσεως (≡14E_090≡> ἐπειγόμενος, καί τῆς ἀγνοίας τά ὄρη καί τούς βουνούς τῆς κακίας ὑπερπηδῶν μετά τοῦ Λόγου καί διαλλόμενος.

Ἀλλά τίς δυνήσεται πάσας τοῦ Σωτῆρος ἡμῶν Θεοῦ τάς δι᾽ ἡμᾶς ἐπινοίας ἐξαριθμῆσαι καθ᾽ ἅς ἐδώδιμον ἑαυτόν καί μεταληπτόν ἀναλόγως ἑκάστῳ πεποίηκεν. Ἔτι γάρ ἔχει πρός τούτοις πᾶσιν ὁ Κύριος βοστρύχους, καί ῥῖνας, καί χείλη, τράχηλόν τε, καί ὤμους, καί δακτύλους, καί ὅσα τῆς ἡμετέρας κατασκευῆς ἐπ᾽ αὐτοῦ λέγεται τροπολογικῶς. Ὧν προσφυῶς τε καί εὐχρήστως μεταλαμβάνουσιν οἱ πρός ἕκαστον καί δι᾽ ἑκάστου μέλους σημαινόμενον πνευματικόν μεταποιούμενοι λόγον. Οὕτως ὁ ἀμνός τοῦ Θεοῦ βιβρώσκεται, κατά τόν ἅγιον τοῦτον καί μέγαν διδάσκαλον, καί εἰς πέψιν πνευματικήν ἀναδίδοται, μεταποιῶν πρός ἑαυτόν τῷ πνεύματι τούς μεταλαμβάνοντας, ἕκαστον αὐτῶν εἰς τόν τοῦ βρωθέντος ὑπ᾽ αὐτοῦ πνευματικῶς μέλους τόπον κατά τήν θέσιν τῆς σωματικῆς ἁρμονίας ἐνάγων τε καί μετατιθέμενος, ὥστε φιλανθρώπως τόν ἐν τοῖς ὅλοις λόγον τοῖς πράγμασιν οὐσίαν γίνεσθαι τόν μόνον ὑπέρ φύσιν καί λόγον.

PKB (122). ..». **ΝΕΚΡΩΣΑΣ ΤΑ ΜΕΛΗ ΤΑ ΕΠΙ ΤΗΣ ΓΗΣ, ΚΑΙ ΤΗΝ ΖΩΝΗΝ ΙΩΑΝΝΟΥ ΜΙΜΟΥΜΕΝΟΣ..».**

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· «Νεκρώσας τά μέλη τά ἐπί τῆς γῆς, καί τήν ζώνην Ἰωάννου μιμούμενος, τοῦ ἐρημικοῦ καί προδρόμου καί μεγάλου τῆς ἀληθείας κήρυκος».

Ὁ τήν Ἰωάννου ζώνην μιμούμενός ἐστιν ὁ τῇ δυνάμει τοῦ λόγου τό γόνιμον τῆς ψυχῆς διά γνώσεως πρακτικῶς ἐπισφίγγων, καί ἀδιάχυτον αὐτό πρός τήν ὕλην διαφυλάττων. Ἐρημικός δέ ἐστιν ὁ παθῶν καθαρεύουσαν τήν ἕξιν κτησάμενος. (≡14E_092≡> Πρόδρομος δέ ὁ διά τῆς γνησίας μετανοίας τήν ἐπακολουθοῦσαν αὐτῇ δικαιοσύνην, καί διά τῆς φαινομένης ἀρετῆς τήν ἐπιδημεῖν αὐτῶν μέλλουσαν γνῶσιν προμηνύων. Μέγας δέ τῆς ἀληθείας κῆρύξ ἐστιν ὁ τῷ οἰκείῳ βίῳ τόν ὑπ᾽ αὐτοῦ λαλούμενον τῆς διδασκαλίας λόγον πιστούμενος.

PKΓ (123). ..». **...ΠΕΜΠΕΤΑΙ... ΑΧΑΛΚΩ ΚΑΙ ΑΡΑΒΔΩ ΚΑΙ ΜΟΝΟΧΙΤΩΝΙ, ΕΤΙ ΚΑΙ ΓΥΜΝΟΠΟΔΕΙΝ..».**

(=1368=) Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· «Καί εἴ τις μαθητής ἐπί τό Εὐαγγέλιον πέμπεται, φιλοσόφως καί ἀπερίττως· ὅν δεῖ πρός τῷ ἀχάλκῳ καί ἀράβδῳ καί μονοχίτωνι, ἔτι καί γυμνοποδεῖν, ἵνα φανῶσιν οἱ πόδες ὡραῖοι τῶν εὐαγγελιζομένων εἰρήνην».

Εὐαγγέλιόν ἐστιν ὁ περί τῆς τοῦ Θεοῦ βασιλείας ὑψηλότερος λόγος· βασιλεία δέ ἐστι Θεοῦ ἡ πάσης ὕλης καί πασῶν τῶν κατ᾽ αὐτήν φαντασιῶν καθαρεύουσα λῆξις. Μαθητής οὖν ἐπί τό Εὐαγγέλιον πεμπόμενος εἰκότως ἐστίν ὁ τοῖς τρόποις παντελῶς τήν πρός τόν κόσμον τοῦτον ἐπιδεικνύμενος ἀλλοτρίωσιν τῷ τε ἀχάλκῳ καί ἀράβδῳ καί μονοχίτωνι, τήν τε φιλαργυρίαν καί τόν θυμόν ἤ τήν ἐπι δυναστεία τινί πεποίθησιν ἑαυτοῦ περικόψας, ἀτέχναστόν τε καί ἄπλαστον καί μονότροπον καί πάσης ἐλευθέραν διπλόης τήν ἠθικήν, ὥσπερ ἕν χιτώνιον, μετιών φιλοσοφίαν, μηδέν τό σύνολον νεκρότητος τῷ ἴχνει τῆς ψυχῆς, ὥσπερ ὑπόδημα,

σύμβολον ἐναφείς, οἷα τῆς μεγάλης εἰρήνης ὑπάρχων ἄγγελος, καί τῆς μηκέτι φοβουμένης τόν ἐκ τῶν παθῶν πόλεμον, μηδέ θάνατον σώματος ὑποστελλομένης καταστάσεως κῆρυξ, ὥστε δύνασθαι τούς εἰς αὐτόν συνετῶς ὁρῶντας ἐκ τῆς καθ᾽ ἀρετήν περί τόν βίον ἀναλλοιώτου ταὐτότητος (≡14E_**094**≡> τήν ἐν ἀγγέλοις περί Θεόν εὐπρεπεστάτην εἰκονίζεσθαι πολιτείαν τε καί εὐστάθειαν.

ΡΚΔ (124). **ΑΛΛΟ ΕΙΣ ΤΟ ΑΥΤΟ ΘΕΩΡΗΜΑ**

Ἄλλο εἰς τό αὐτό θεώρημα.

Ἤ μήποτε διά τό ἁπλῶς εἰπεῖν, καί κατά μίμησιν τῆς Ἰωάννου ζώνης, καί πάλιν εὐαγγελικῶς δύνασθαι τό Πάσχα ἐσθίεσθαι, τάς τε διαφοράς τῶν μεταλαμβανόντων καί τούς τρόπους αὐτοῦ τοῦ Πάσχα διδασκαλικῶς ὁ Πατήρ παρηνίξατο. Τρία γάρ Πάσχα παραδίδωσιν ὁ Παλαιᾶς Γραφῆς λόγος, ἕν κατά τήν Αἴγυπτον ἐπιτελούμενον, καί ἕτερον κατά τήν ἔρημον, καί τό ἄλλο κατά τήν γῆν τῆς ἐπαγγελίας. Ἡ μέν οὖν Αἴγυπτος κατά μίαν τῶν περί αὐτήν ἐπινοιῶν ἀλληγορουμένη τοῦτον δηλοῖ τόν κόσμον, ἡ δέ ἔρημος ὡσαύτως κατά μίαν τῶν ἐπ᾽ αὐτῆς θεωριῶν τήν μετά θάνατον κατάστασιν τῶν ψυχῶν ἀλληλογορικῶς ὑποφαίνει, ἡ δέ γῆ τῆς ἐπαγγελίας τόν μέλλοντα προτυποῖ. Τρεῖς γάρ τόποι καί καταστάσεις εἰσίν ἐν οἷς οἱ ἄνθρωποι γινόμεθα· οὗτος ὁ ἐν ᾧ τό εἶναι λαμβάνοντες γεννώμεθα κόσμος, καί ὁ μετά θάνατον ἐν ᾧ ἐντεῦθεν ἀπιόντες γινόμεθα τόπος, καί ὁ μέλλων αἰών, ἐν ᾧ μετά ψυχῶν συγκλειόμεθα καί σωμάτων. Ἐφ᾽ ὅσον οὖν χρόνον ἐσμέν ἐν τῷ κόσμῳ τούτῳ, ἐν Αἰγύπτῳ ἄγομεν τό Πάσχα, τῶν καθ᾽ ἁμαρτίαν κηλίδων ἐκκαθαιρόμενοι· ἐπάν δέ ταύτην διά θανάτου περάσωμεν τήν ζωήν, ὡς ἐν ἐρήμῳ πάλιν ἄγομεν ἕτερον Πάσχα, τρανοτέρους τούς τῶν ὄντων λόγους, (=1369=) χωρίς συμβόλων καί αἰνιγμάτων καί τῆς δι᾽ αἰσθήσεως ποικιλίας, νοητῶς τε καί ἀσωμάτως μανθάνοντες· καί αὖθις κατά τόν μέλλοντα τῶν θείων ἀπαγγελιῶν αἰῶνα ἑορτάζομεν τό Πάσχα, τόν ἀκρότατον ἀμέσως ἐσθίοντες τῆς σοφίας λόγον, πρός ὅν μεταποιηθέντες κατά χάριν θεούμεθα, (≡14E_**096**≡> τήν πρός ἄλλο Πάσχα διάβασιν καθ᾽ ὁτιοῦν ἄλλην οὐκ ἔχοντες, πλήν ὅτι καί ἐνταῦθα παροῦσιν ἡμῖν δυνατόν ἐστι πρός τήν ἑκάστου κατάστασιν εἰκονισθῆναι τῶν εἰρημένων τόπων τόν ἰδιότητα. Ὁ γάρ ἑκάστου ἡμῶν βίος χαρακτηριστικός ἐστί τοῦ ἐν ᾧ ἐστι τόπου.

Οἷον, εἰ μέν τήν πρακτικήν ἀνδρικῶς μετερχόμεθα φιλοσοφίαν, ἐν Αἰγύπτῳ τό Πάσχα καλῶς ἐπιτελοῦμεν, μετά τῶν Αἰγυπτίων μέν ὑπάρχοντες, οὐκ Αἰγύπτιοι δέ τυγχάνοντες, ὡς ἐν σαρκί μέν ὄντες, οὐ κατά σάρκα δέ στρατευόμενοι. Εἰ δέ τήν φυσικήν ἐν πνεύματι θεωρίαν εὐσεβῶς ἐξασκούμεθα, ὅπλα τῷ Θεῷ δυνατά τάς τῆς ψυχῆς ποιούμενοι δυνάμεις, πρός καθαίρεσιν μέν ὀχυρωμάτων καί παντός ὑψώματος ἐπαιρομένου κατά τῆς γνώσεως τοῦ Θεοῦ, θεωρίαν δέ τῶν ἐν τοῖς οὖσι πνευματικῶν λόγων, ὥσπερ γυμνοί σώματος καί τῆς κατά τήν αἴσθησιν ἀπατηλῆς φαντασίας ἐλεύθεροι, τήν πρός τάς θείας ἐπαγγελίας γνωστικῶς ποιούμενοι πορείαν, ἐσμέν ἐν τῇ ἐρήμῳ, τῇ παθῶν λέγω, καί πάσης ὑλικῆς φαντασίας καθαρευούσῃ καταστάσει. Εἰ

δέ τήν θεολογικήν μυσταγωγίαν ἀῤῥήτοις νοός κινήμασι μορφαζόμεθα, τί τό πλάτος καί μῆκος καί βάθος καί τό ὑπερβάλλον εἰς ἡμᾶς μέγεθος τῆς τοῦ Θεοῦ σοφίας κατά τό ἐφικτόν ἀνθρώποις οὐκ ἀγνοοῦντες, ἐσμέν ἐν τῇ γῇ τῆς ἐπαγγελίας. Τήν πρακτικήν οὖν, καί τήν φυσικήν, καί τήν θεολογικήν φιλοσοφίαν οἶμαι διά τῆς διαιρέσεως τῶν τριῶν προσώπων τόν διδάσκαλον παραινίττεσθαι, δι᾽ ὧν ἀναλόγως ἕκαστος κατά τήν ὑποῦσαν αὐτῷ δύναμιν τό νοητόν ἐσθίει Πάσχα.

PKE (125). **..». ΕΙ ΤΙΣ ΕΙ ΡΑΧΗΛ Ἡ ΛΕΙΑ, ... ΤΑ ΕΙΔΩΛΑ ΚΛΕΨΟΝ ΑΠΕΡ ΑΝ ΕΥΡΗΣ ΤΟΥ ΣΟΥ ΠΑΤΡΟΣ..».**

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· «Εἰ μέν τις εἶ ῾Ραχήλ ἤ Λεία, ψυχή πατριαρχική καί μεγάλη, καί τά εἴδωλα κλέψον ἅπερ ἄν εὕρῃς τοῦ σοῦ πατρός, οὐχ ἵνα φυλάξῃς, ἀλλ᾽ ἵνα (≡14E_**098**≡> ἀφανίσῃς· εἰ δέ Ἰσραηλίτης σοφός, πρός τήν γῆν τῆς ἐπαγγελίας μετένεγκαι».

῾Ραχήλ μέν, ὥς φασιν, ἀμνάς ἤ ποιμαίνουσα ἑρμηνεύεται, ἡ δέ Λεία, κοπουμένη ἤ κόπωσις ἑρμηνεύεται. Ποιμαίνεται οὖν καί ποιμαίνει καί ἄγεται καί ἄγει ἡ ῾Ραχήλ, κατά τήν τῆς προσηγορίας δύναμιν. ῾Ραχήλ οὖν ἐστι πᾶσα ψυχή θεωρητική, ἡ τῷ νόμῳ τοῦ θεοῦ ὡς ἀμνάς ποιμαινομένη τε καί ἀγομένη, καί κατά τόν νόμον τοῦ Θεοῦ τοῖς κατά πρᾶξιν θεσμοῖς ποιμαίνουσά τε καί ἄγουσα αὐτῆς τά κινήματα καί τά διανοήματα, καί τά πάθη τῆς σαρκός τῷ γονίμῳ τῆς ἀρετῆς ὑποτάσσουσα τέως, καί οὕτως μετά τήν εἰς γνῶσιν εἴσοδον παντελῶς ἀφανίζουσα. Λεία δέ ἐστι πᾶσα ψυχή πρακτική, τήν ὑπέρ ἀρετῆς ἔχουσα κόπωσιν, ἥν μάλιστα πρώτην πᾶς τις τήν θείαν μετιών (=1372=) φιλοσοφίαν γαμικῶς εἰσοικίζεται. Ἰσραηλίτης δέ σοφός ἐστι νοῦς θεωρητικός τά τοῦ αἰῶνος τούτου νοήματα πρός τήν χώραν τῆς γνώσεως μεταβιβάζων κατά τόν μέγαν ἐκεῖνον Ἰακώβ, τόν πάντα τά τοῦ Λάβαν πρός τήν γῆν τῶν Πατέρων μετακομίσαντα. Καθάπερ γάρ ἐκεῖνος ὁ θαυμαστός Ἰακώβ ἱστορικῶς τάς ῥάβδους λεπίσας καί ὑποθείς ταῖς ληνοῖς τῶν ὑδάτων πρός αὐτάς ἐγκισσᾷν ἐποίει τά πίνοντα πρόβατα, οὕτω καί πᾶς ἐν Πνεύματι σοφώτατος νοῦς τῆς περικειμένης ὕλης τούς τῶν ὄντων θειοτέρους λόγους ἀπογυμνώσας, καί τοῖς κατά τήν θεωρίαν τρόποις τῆς γνώσεως ὑποθέμενος, τήν τῶν ἀσωμάτων κατάστασιν μορφοῦσθαι, τούς τε μανθάνοντας πάντας καί τά τῆς ἑαυτοῦ ψυχῆς ἐκδιδάσκει κινήματα. Πατριάρχης οὖν τῶν μέν διά πρακτικῆς κοπώσεως τήν ἀρετήν κατορθούντων ἐστίν ἡ Λεία, τῶν δέ διά τῆς φυσικῆς θεωρίας τήν ἀρετήν λογικῶς μετιόντων ἐστίν ἡ ῾Ραχήλ, ὡς εὐπειθῶς ἀγομένη τῷ νόμῳ τοῦ (≡14E_**100**≡> Θεοῦ καί πράως κατ᾽ αὐτόν ἄγουσα. Τῶν δέ κατά θεωρίαν πνευματικήν τό ὕψος μεταδιωκόντων τῆς γνώσεως, Ἰακώβ ὁ πανεύφημος, τῶν μή τά φαινόμενα καθώς φαίνονται παντελῶς, ἀλλά καθώς νοοῦνται, θεωμένων τε καί γινωσκόντων, καί μετά τῶν ἐν τούτοις νοημάτων πλουσίως πρός τήν ἄυλον καί ἀσώματον μεταβιβαζομένων γνῶσιν.

PKS (126). **..». ΑΝ ΣΙΜΩΝ ΗΣ ΚΥΡΗΝΑΙΟΣ, ΤΟΝ ΣΤΑΥΡΟΝ ΑΡΟΝ ΚΑΙ ΑΚΟΛΟΥΘΗΣΟΝ»**

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· «Ἂν Σίμων ᾖς Κυρηναῖος, τόν σταυρόν ἆρον καί ἀκολούθησον».

Σίμων μέν ὑπακοή, Κυρηναῖος δέ ἑτοιμότης, ὥς φασιν, ἑρμηνεύεται. Πᾶς οὖν ἕτοιμος πρός ὑπακοήν τοῦ Εὐαγγελίου, καί προθύμως διά νεκρώσεως τῶν ἐπί γῆς μελῶν τήν ὑπέρ ἀρετῆς κατά τήν πρακτικήν φιλοσοφίαν ὑπερχόμενος κάκωσιν, Σίμων γέγονε Κυρηναῖος, ἑκούσιον μετερχόμενος ἀρετήν, ἐπ᾽ ὤμων τε τόν σταυρόν ἔχων καί ἀκολουθῶν τῷ Χριστῷ ἀνεσταλμένην παντελῶς τῆς γῆς τοῦ κατά Θεόν βίου τήν ἀγωγήν ἐπιδεικνύμενος.

PKZ (127). **..». ΕΑΝ ΣΥΣΤΑΥΡΩΘΗΣ ΩΣ ΛΗΣΤΗΣ, ΩΣ ΕΥΓΝΩΜΩΝ ΤΟΝ ΘΕΟΝ ΓΝΩΡΙΣΟΝ»**

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· «Ἐάν συσταυρωθῇς ὡς ληστής, ὡς εὐγνώμων τόν Θεόν γνώρισον».

Ληστής ἐστιν εὐγνώμων συσταυρούμενος τῷ Χριστῷ πᾶς ἄνθρωπος ὑπέρ ἁμαρτιῶν πάσχων κακῶς ὡς ὑπεύθυνος, τῷ (≡14E_**102**≡> ἀνευθύνως δι᾽ αὐτόν κακοπαθοῦντι Λόγῳ συγκακοπαθῶν καί φέρων μετ᾽ εὐχαριστίας, καί τόν κατά πρόνοιαν τῆς δικαίας κρίσεως Λόγον συνόντα γνωρίζον, καί ὁμολογῶν τήν ὑπέρ ὧν πάσχει κακῶς αἰτίαν, καί αἰτιῶν ὥσπερ αὐτῷ τοῦ πάθους ἐκοινώνησεν ἀνεύθυνος ὤν ὁ λόγος, οὕτω δι᾽ ἑαυτόν τόν λόγον τῆς οἰκείας εὐπαθείας ἀναξίῳ τυγχάνοντι μεταδοῦναι, καί τήν ἐκ περιστάσεως νέκρωσιν εἰς ἑκούσιον αὐτοῦ ἀρετήν διά τήν εὐγνωμοσύνην λογίσασθαι, ἡνίκα τῆς προνοίας τά σοφά τοῦ λόγου προκαλύμματα πέρας λαβόντα τῆς αὐτοῦ (=1373=) βασιλείας τό φῶς φανῇ τό ἀπρόσιτον. Οὕτω περιίσταται αὐτῷ πάσχοντι δι᾽ ἁμαρτίας ἡ ἐκ περιστάσεως τῶν μελῶν τοῦ σώματος νέκρωσις, δι᾽ εὐγνώμονος εὐχαριστίας εἰς αὐθαίρετον ἀρετήν μεταπίπτουσα, καθ᾽ ἥν τῶν καθ᾽ ἁμαρτίαν πολλῶν ἀπολυόμενος ὀφλημάτων μετά τοῦ Λόγου δικαίως εἴσεισιν εἰς τήν χώραν τῆς γνώσεως, φημί δέ τόν παράδεισον, ἐν ᾗ γενόμενος γνώσεται τήν αἰτίαν τῆς ἐν ᾗ καθείργμεθα νῦν καταδίκης και κακοπαθείας.

Ληστής δέ ἀγνώμων ἐστίν ὁ δι᾽ ἁμαρτίας πάσχων κακῶς ὡς ὑπεύθυνος, καί μή γνωρίζων διά φιλαπεχθήμονα γνώμην τόν ἀνευθύνως ὑπέρ φιλανθρωπίας αὐτῷ συμπάσχοντα τῆς δικαιοσύνης Λόγον, ἀλλά βλασφήμως ἀποπεμπόμενος τόν ἐπ᾽ αὐτῷ κατά πρόνοιαν δικαίως ὁρισθέντα τῆς κρίσεως λόγον, ὅς ἐπειδή μή ἐγνώρισε τόν ἀτίμως αὐτῷ κατά βούλησιν συγκαταδικασθέντα Λόγον καί ᾐτήσατο χάριν ὧν ἐπλημμέλησεν, ἀφίεται τῆς βασιλείας ἀλλότριος, οὐδεμίαν τοῦ ποτε ταύτης τεύξεσθαι παρά τοῦ Λόγου λαβών ἐπάγγελον.

PKH (128). **ΑΛΛΟΣ ΕΙΣ ΤΟ ΑΥΤΟ ΘΕΩΡΗΜΑ**

Ἄλλος εἰς τό αὐτό θεώρημα.

Καί πάλιν ληστής ἐστιν εὐγνώμων ὁ κἄν ἐπ᾽ αὐτό τό πέρας τῆς παρούσης αὐτῷ γενόμενος ζωῆς ἐλθών εἰς συναίσθησιν (≡14E_**104**≡> τῶν πλημμεληθέντων αὐτῷ, καί γνωρίζων μετά συνέσεως

τόν ἐπ᾽ αὐτῷ δικαίως ὡρισμένον ἐνταῦθα τῆς θείας κρίσεως συντελούμενον αὐτῷ λόγον, καί αἰτῶν συγγνώμην εἰλικρινῶς ἐκ βάθους ψυχῆς ὧν ἥμαρτεν. Ἀγνώμων δέ λῃστής ἐστιν ὁ κατ᾽ αὐτό τό πέρας τῆς παρούσης αὐτῷ ζωῆς γενόμενος καί τόν κατά ψῆφον δικαίαν τοῦ Θεοῦ τεθέντα σοφῶς τοῦ μερισμοῦ τῆς ψυχῆς ἀπό τοῦ σώματος νόμον τε καί ὅρον ὡς μή καλῶς δοθέντα διά φιλοζωΐαν μεμφόμενος.

ΡΚΘ (129). **ΑΛΛΟΣ ΕΙΣ ΤΟ ΑΥΤΟ ΘΕΩΡΗΜΑ**

Ἄλλο εἰς τό αὐτό θεώρημα.

Καί πάλιν ἐπειδήπερ ἕκαστος ἡμῶν διπλοῦς ἐστι τήν φύσιν, ἐκ ψυχῆς καί σώματος συνεστώς, λῃστής ἐστιν ὁ καθ᾽ ἑκάτερον τῶν ἐξ ὧν συνέστηκε κατά τήν θατέρου φύσιν νόμον ὑπέρ ἀρετῆς τῷ λόγῳ μυστικῶς συσταυρούμενος, καί τόν μέν τῆς σαρκός νόμον, ὥσπερ ἀγνώμονα λῃστήν τῷ λόγῳ τῆς ἀρετῆς ἀντιπίπτοντα, τόν δέ τοῦ πνεύματος νόμον ὥσπερ λῃστήν ἔχων εὐγνώμονα, καί τόν Σωτῆρα Λόγον διά τῶν κατά τήν πρακτικήν τρόπων, κἂν ἐπίπονοι ὦσιν, ἀποδεχόμενον, ᾧ συνεισέρχεται γεγηθώς εἰς τόν τῆς εὐωχίας τόπον τόν πάσης κατάκορον γνώσεως, τοῦ κατά σάρκα φρονήματος παντελῶς ἀπηλλαγμένος.

ΡΛ (130). **ΑΛΛΟΣ ΕΙΣ ΤΟ ΑΥΤΟ ΘΕΩΡΗΜΑ**

Ἄλλο εἰς τό αὐτό θεώρημα.

Καί αὖθις λῃστής ἐστιν εὐγνώμων ὁ καταξιωθείς συσταυρωθῆναι Χριστῷ διά παντελοῦς καί ὁλοκλήρου τῶν παθῶν νεκρώσεως, καί δεξιῶς αὐτῷ συσταυρούμενος, τουτέστι μετά λόγου καί γνώσεως πᾶσαν διεξιών ἀρετήν, καί ἀπρόσκοπον πᾶσιν (≡14E_**106**=> (=1376=) ἀνθρώποις τόν βίον διατηρῶν, καί μηδεμίαν ἔχων τό παράπαν τῆς τοῦ λόγου πραότητος ἀπᾴδουσαν δι᾽ αὐστηρότητα κίνησιν. Ἀγνώμων δέ λῃστής ἐστιν ὁ δόξης ἕνεκεν ἤ λημμάτων ἀδροτέρων τοῖς φαινομένοις τρόποις ὑπούλως τόν κατ᾽ ἀρετήν βίον ὑποκρινόμενος, καί ἕνα καί μόνον πρός τούς ἔξω τόν κόλακα λόγον ἀντί πάσης ἀρετῆς τε καί γνώσεως μετερχόμενος, πρός δέ τούς συνήθεις σκολιός τις τήν γνώμην παντάπασιν ὤν καί δυσάντητος, ὅν δεῖ μάλα γε τήν ὁδόν τοῦ Θεοῦ βλασφημοῦντα μετά συνέσεως ἐπιστομίζειν. Ἴσως γάρ παύσεται τοῦ διαβάλλειν διά τῆς οἰκείας ἀναστροφῆς τόν Λόγον τῇ παραινέσει τοῦ ἐπιπλήσσοντος, ὥσπερ ἐπί τοῦ σταυροῦ πέπονθεν ὁ τήν βλασφημίαν ἀδεῶς προσενέγκας λῃστής. Τό γάρ μή ἀντιφθέγξασθαι τῷ ἐπιπλήξαντι σημεῖον ἔχει τῆς τοῦ ῥηθέντος ἀποδοχῆς λόγου τήν σιωπήν.

Καθ᾽ ἥντινα γοῦν τῶν εἰρημένων θεωρίαν τῷ Χριστῷ συσταυρούμεθα σπουδάσωμεν, ὡς ἐσμεν ἐνταῦθα, τόν συσταυρούμενον ἡμῖν ἱλεώσασθαι Λόγον, καί τήν ἀψευδῆ δέξασθαι κατά συνείδησιν καθαρθεῖσαν τῶν πλησσόντων αὐτήν νοημάτων τῆς ἀναπαύσεως ἐπαγγελίαν, εἴπερ ἡ σήμερον τήν ἐνεστῶσαν τούτου τοῦ αἰῶνος ἡμέραν ἐνδείκνυται (σήμερον γάρ, φησίν, ἔσῃ μετ᾽ ἐμοῦ ἐν τῷ παραδείσῳ), ἡ δέ αὔριον τήν τοῦ μέλλοντος, καθ᾽

ἥν οὐδεμίαν μέν ἄφεσιν ἁμαρτημάτων ἐκδέχεσθαι χρή, μόνην δέ τῆς ἑκάστῳ πρεπούσης κατ᾽ ἀξίαν ἀμοιβῆς τῶν βεβιωμένων ἀντίδοσιν.

ΡΛΑ (131). **..». ΚΑΝ ΙΩΣΗΦ ΗΣ Ο ΑΠΟ ΑΡΙΜΑΘΑΙΑΣ, ΑΙΤΗΣΑΙ ΤΟ ΣΩΜΑ ΠΑΡΑ ΤΟΥ ΣΤΑΥΡΟΥΝΤΟΣ»**

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· «Κἂν Ἰωσήφ ᾖς ὁ ἀπό Ἀριμαθαίας, αἴτησαι τό σῶμα παρά τοῦ σταυροῦντος».

Τό σῶμα τοῦ Χριστοῦ ἐστιν ἡ ψυχή, ἤ αἱ ταύτης δυνάμεις, (≡14E_**108**≡> ἤ αἱ αἰσθήσεις, ἤ τό σῶμα τοῦ καθ᾽ ἕκαστον, ἤ τά μέλη τοῦ σώματος, ἤ αἱ ἐντολαί, ἤ αἱ ἀρεταί, ἤ οἱ λόγοι τῶν γεγονότων, ἤ ἁπλῶς εἰπεῖν ἀληθέστερον, ἰδίᾳ τε καί κοινῇ, ταῦτα πάντα καί τούτων ἕκαστόν ἐστι τό σῶμα τοῦ Χριστοῦ. Σταυροῖ δέ τοῦτο, ἤγουν ταῦτα πάντα ὁ διάβολος, ἐν τῷ παραδεξαμένῳ τούτων τήν σταύρωσιν, οὐκ ἐῶν αὐτά, κατά φύσιν ἐνεργεῖσθαι. Ἰωσήφ δέ ἑρμηνεύεται κατά Ἑβραίων φωνήν, Πρόσθεσις· Ἀριμαθία δέ, Ἄρον ἐκεῖνο. Πῶς οὖν; Ἄνθρωπος προσθήκας πίστεως ἔχων καί τοῖς κατ᾽ ἀρετήν ηὐξημένος τρόποις, καί πᾶσαν ἀπάτην τῶν ὑλικῶν ἑαυτοῦ περιελόμενος, οὗτος Ἰωσήφ ἐστι πνευματικός, δυνάμενος τό σῶμα λαβεῖν τοῦ Χριστοῦ καί καλῶς ἐνταφιάσαι καί ἐνθεῖναι τῇ ἐκ πίστεως λελατομημένῃ καρδίᾳ, τό τε σῶμα τό ἑαυτοῦ ὡς Χριστοῦ σῶμα διά τήν χάριν, καί τά σώματος μέλη ὅπλα δικαιοσύνης τῷ Θεῷ εἰς ἁγιασμόν ποιούμενος, τάς δέ αἰσθήσεις τοῦ σώματος ὑπουργούς εἶναι τῇ ψυχῇ κατα τόν ἔμφυτον λόγον πρός τήν ἐν πνεύματι φυσικήν θεωρίαν παρασκευάζων, αὐτήν δέ τήν ψυχήν ἰσονομεῖν ταῖς δυνάμεσι (=1377=) ποιῶν πρός τήν τῶν ἀρετῶν ἐκπλήρωσιν, καί ἔτι τήν ψυχήν τε καί τάς αὐτῆς δυνάμεις δουλώσας ταῖς ἐντολαῖς τοῦ Θεοῦ, αὐτάς δέ τάς ἐντολάς φυσικάς τῆς ψυχῆς ἀποδεικνύς ἐνεργείας, καί διά τῆς κατ᾽ ἀρετήν ἀμεταθέτου καί παγίας ἕξεως εἰς κατανόησιν αὖ καί ὑποδοχήν τῶν ἐγκεκρυμμένων ταῖς ἐντολαῖς θειοτέρων λόγων διεγειρόμενος, καί ὥσπερ σινδόνι τινί τοῖς περί τόν αἰῶνα τοῦτον πνευματικοῖς λόγοις περιβάλλειν τόν πρῶτον, ἐξ οὗ καί δι᾽ οὗ καί εἰς ὅν τά πάντα, Λόγον. Ὁ ταύτην οὕτω τηρήσας τήν εὔκοσμον εὐταξίαν, Ἰωσήφ ἐστι, τό μυστικόν σῶμα τοῦ Χριστοῦ μυστικῶς ἐνταφιάζων.

ΡΛΒ (132). **ΑΛΛΟ ΕΙΣ ΤΟ ΑΥΤΟ ΘΕΩΡΗΜΑ**

Ἄλλο εἰς τό αὐτό θεώρημα.

Καί ἔτι συντόμως εἰπεῖν, ὁ πράξει καί θεωρίᾳ τούς περί (≡14E_**110**≡> τοῦ σταυροῦ τοῖς ἀκούουσι θαυμαστῶς λόγους ἀποδιδούς, οὗτος Ἰωσήφ μέν γέγονεν ἄλλος διά τῆς προσθήκης τῶν κατά τήν θεωρίαν ἀγαθῶν εἰς γνῶσιν ἐπαυξήσας πνευματικήν, Ἀριμαθαῖος δέ διά τῆς γνησίας τῶν ἀρετῶν οἰκειότητος κατά τήν πρᾶξιν πᾶσαν τῶν ὑλικῶν ἑαυτοῦ περιτέμνων τήν προσπάθειαν.

ΡΛΓ (133). **ΑΛΛΟ ΘΕΩΡΗΜΑ ΕΙΣ ΤΟ ΑΥΤΟ**

Ἄλλο θεώρημα εἰς τό αὐτό.

Σταυροῦσι δέ πάλιν τόν Χριστόν οἱ βλασφήμως τούς περί τῆς ἐνσωματώσεως τοῦ Θεοῦ διδάσκοντες λόγους, ἐνταφιάζει δέ πάλιν ὁ τούς περί τῆς σαρκώσεως τοῦ Θεοῦ λόγους μετά παῤῥησίας πᾶσιν εὐσεβῶς ἀνακηρύττων.

ΡΛΔ (134). **..». ΚΑΝ ΝΙΚΟΔΗΜΟΣ ΗΣ Ο ΝΥΚΤΕΡΙΝΟΣ ΘΕΟΣΕΒΗΣ, ΜΥΡΟΙΣ ΑΥΤΟΝ ΕΝΤΑΦΙΑΣΟΝ»**

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· «Κἄν Νικόδημος ᾖς ὁ νυκτερινός θεοσεβής, μύροις αὐτόν ἐνταφίασον».

Νικόδημός ἐστιν, νυκτερινός θεοσεβής καί μύροις τό σῶμα τοῦ Χριστοῦ ἐνταφιάζων, ὁ κατά διάνοιαν μέν ἐῤῥώμενος εἰς τήν ἐπίγνωσιν τοῦ Χριστοῦ, τήν δέ τῆς πράξεως τῶν ἐντολῶν φιλοτιμίαν ὡς δειλός διά τόν φόβον τῶν Ἰουδαίων (λέγω δέ τῶν παθῶν ἤ τῶν δαιμόνων τάς προσβολάς) φειδοῖ τῆς σαρκός παραιτούμενος, ᾧ μέγα πρός ἀποδοχήν κἄν τό καλά φρονεῖν περί Χριστοῦ καί μή βλασφήμους προΐεσθαι λόγους.

ΡΛΕ (135). **..». ΚΑΝ ΜΑΡΙΑ ΤΙΣ ΗΣ ..., ΚΑΝ ΣΑΛΩΜΗ, ΚΑΝ ΙΩΑΝΝΑ, ΔΑΚΡΥΣΟΝ ΟΡΘΡΙΑ..».**

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· (≡14E_112≡> «Κἄν Μαρία τις ᾖς, κἄν ἡ ἄλλη Μαρία, κἄν Σαλώμη, κἄν Ἰωάννα, δάκρυσον ὀρθρία. Ἴδε πρώτη τόν λίθον ἠρμένον, τυχόν δέ καί τούς ἀγγέλους, καί Ἰησοῦν αὐτόν».

Μαρία ἡ πρώτη, ἐξ ἧς ἐκβέβληκεν ὁ λόγος ἑπτά δαιμόνια, ἐστί πᾶσα πρακτική ψυχή, διά τοῦ λόγου τῶν εὐαγγελικῶν ἐντολῶν τῆς περί τόν αἰῶνα τοῦτον καθαρθεῖσα πτοήσεως. Ἑβδοματικός γάρ οὗτος ὁ αἰών, τῇ εἰς ἑαυτόν τοῦ χρόνου περιελίξει (=1380=) πληρούμενος, οὗτινος ἐλευθεροῖ τούς ἑαυτοῦ θιασώτας ὁ Λόγος, πάντως αὐτούς ὑπεράνω τιθείς τῶν ὑπό χρόνον. Ἡ δέ ἄλλη Μαρία ἐστί πᾶσα ψυχή θεωρητική, διά γνώσεως ἀληθοῦς τήν πρός τόν λόγον κατά χάριν κτησαμένη συγγένειαν. Σαλώμη δέ ἐστιν, ἥτις ἑρμηνεύεται Εἰρήνη ἤ Πληρεστάτη, πᾶσα ψυχή διά μέν τῆς ἀποβολῆς τῶν παθῶν εἰρηνεύουσα, καί τῇ περιουσίᾳ τῶν πρακτικῶν ἀρετῶν τό φρόνημα τῆς σαρκός καθυποτάξασα τῷ νόμῳ τοῦ πνεύματος, διά δέ τῆς πληρώσεως τῶν κατά θεωρίαν πνευματικῶν νοημάτων τήν τῶν ὄντων γνῶσιν κατά τό δυνατόν σοφῶς περιλαβοῦσα. Ἰωάννα δέ ἐστιν, ἥτις ἑρμηνεύεται περιστερά, τό πρᾶον ζῶον καί ἄχολον καί πολύγονον, πᾶσα ψυχή διά πραότητος τό ἐμπαθές ἀποθεμένη, καί τήν ἐν γνώσει πολυγονίαν τοῦ πνεύματος διάπυρον ἔχουσα. Αὗται δέ δακρύουσιν ὄρθριαι, τουτέστι δάκρυα προχέουσι γνωστικά, ζητοῦσαι τόν πάσης ἀρετῆς τε καί γνώσεως ἀρχικώτατον Λόγον. Καί πρῶτον ὁρῶσι τόν λίθον ἐκ τῆς θύρας ἠρμένον τοῦ μνημείου, τουτέστι τήν ἐπικειμένην τῇ καρδίᾳ τῆς ἀσαφείας τοῦ Λόγου πώρωσιν· εἶτα τούς ἀγγέλους, τουτέστι τούς ἐν πνεύματι τῶν ὄντων φυσικούς λόγους, σιωπῇ κηρύττοντας τόν παναίτιον Λόγον.

ΡΛS (136). **ΑΛΛΟ ΘΕΩΡΗΜΑ ΕΙΣ ΤΟΥΣ ΑΓΓΕΛΟΥΣ**

Ἄλλο θεώρημα εἰς τούς ἀγγέλους.

Ἤ τούς λόγους τῆς ἁγίας Γραφῆς, τήν περί τοῦ Χριστοῦ (≡14E_114≡> ὡς Θεοῦ καί ἀνθρώπου, ἤγουν τήν περί θεολογίας καί οἰκονομίας, τρανοτέραν αὐταῖς παρεχομένους ἔννοιαν. Ἕνα γάρ φησίν ὁ λόγος αὐτάς ἑωρακέναι πρός τῇ κεφαλῇ, καί ἕνα πρός τοῖς ποσί. Πρός τῇ κεφαλῇ γάρ εἶναι τόν τῆς θεολογίας λόγον διά τήν θεότητα τοῦ Χριστοῦ, πρός δέ τοῖς ποσί τόν τῆς οἰκονομίας διά τήν σάρκωσιν, καί Χριστοῦ μέν κεφαλήν τήν θεότητα αὐτοῦ, πόδας δέ τήν ἀνθρωπότητα αὐτοῦ λέγων τις τοῦ εἰκότος οὐχ ἁμαρτήσεται.

ΡΛΖ (137)**. ΑΛΛΟ ΘΕΩΡΗΜΑ ΕΙΣ ΤΟΥΣ ΑΥΤΟΥΣ**

Ἄλλο θεώρημα εἰς τούς αὐτούς.

Ἤ τυχόν τάς κατά συνείδησιν περί τόν λόγον τῆς εὐσεβείας κινήσεις εἶναι τούς ἀγγέλους, διά τήν παντελῆ τῆς κακίας τε καί ἀγνωσίας ἀποβολήν· κηρύττουσας αὐταῖς νοητῶς τοῦ ποτέ διά κακίαν ἐν αὐταῖς νεκρωθέντος Λόγου τήν ἀνάστασιν. Καί τέλος αὐτόν ὁρῶσι τόν Λόγον διαῤῥήδην αὐταῖς ἐμφανιζόμενον, συμβόλων δίχα καί τύπων, καί πληροῦντα χαρᾶς νοητῆς τάς νοεράς αὐτῶν χωρήσεις.

ΡΛΗ (138)**. ..». ΓΕΝΟΥ ΠΕΤΡΟΣ Η ΙΩΑΝΝΗΣ· ΕΠΙ ΤΟΝ ΤΑΦΟΝ ΕΠΕΙΧΘΗΤΙ, ΑΝΤΙΤΡΕΧΩΝ..».**

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· «Γενοῦ Πέτρος ἤ Ἰωάννης· ἐπί τόν τάφον ἐπείχθητι, ἀντιτρέχων, συντρέχων, τήν καλήν ἅμιλλαν ἁμιλλώμενος».

Πέτρος μέν ἐστι πᾶς ἄνθρωπος τό στερέωμα τῆς εἰς Χριστόν πίστεως κατά τήν ἀναστροφήν τοῦ βίου κτησάμενος· Ἰωάννης δέ ὁ διά πραότητα πολλήν (=1381=) καί τήν ἐκ ταύτης ἀκραιφνῆ καθαρότητα τῆς καρδίας ἀγαπώμενος τῷ Λόγῳ, καί διά τοῦτο (≡14E_116≡> τούς τῆς σοφίας καί τῆς γνώσεως θησαυρούς πιστευόμενος, καί τῇ ἐπί τό στῆθος ἀναπτώσει ἐξ αὐτῆς τοῦ Λόγου τῆς κρυφίας θεότητος τήν τῆς θεολογίας κομισάμενος δύναμιν. Ἀντιτρέχουσι δέ ἀλλήλοις οὗτοι, ὁ μέν κατά τήν ἐνάρετον πρᾶξιν τήν τοῦ ἑτέρου θεωρίαν νικῆσαι φιλονεικῶν, ὁ δέ κατά τήν γνωστικήν θεωρίαν τήν πρᾶξιν τοῦ ἄλλου παραδραμεῖν ἐπειγόμενος. Συντρέχουσι δέ κατά τήν πρόθεσιν ἀλλήλοις, ἑκάτερος κατά τόν ἴσον περί τό οἰκεῖον ἀγαθόν εὐοδούμενος.

ΡΛΘ (139)**. ΑΛΛΟ ΘΕΩΡΗΜΑ ΕΙΣ ΤΟΥΣ ΑΥΤΟΥΣ**

Ἄλλο θεώρημα εἰς τούς αὐτούς.

Πέτρος δέ ἐστι πάλιν, καί Ἰωάννης, ἕκαστος ἄνθρωπος Θεῷ πλησιάζειν ἠξιωμένος, καί τό μέν πρακτικόν τῆς ψυχῆς οἷόν τινα Πέτρον, τό δέ θεωρητικόν οἷόν τινα Ἰωάννην, ἀλλήλοις κατά τόν λόγον ἔχων συντρέχοντα, δίχα τῆς θατέρου πρός τό ἕτερον ὑπερβολήν καί ἐλλείψεως· καί πάλιν ἀλλήλοις κατά τήν πρόθεσιν ἀντιστρέχοντα τῷ περί ἑκάτερον ἄκρῳ παραδραμεῖσθαι θάτερον ὑπό θατέρου νομίζεται.

PM (140). **..». ΚΑΝ ΩΣ ΘΩΜΑΣ ΑΠΟΛΕΙΦΘΗΣ ΤΩΝ ΜΑΘΗΤΩΝ ... ΟΤΑΝ ΙΔΗΣ, ΜΗ ΑΠΙΣΤΗΣΤΗΣ..».**

Ἐκ τοῦ αὐτοῦ, εἰς τό· «Κἂν ὡς Θωμᾶς ἀπολειφθῇς τῶν μαθητῶν οἷς Χριστός ἐμφανίζεται, ὅταν ἴδῃς, μή ἀπιστήστῃς. Κἂν ἀπιστήσῃς, τοῖς λέγουσι πίστευσον. Εἰ δέ μή τούτοις, τοῖς τύποις τῶν ἥλων πιστώθητι»

Θωμᾶς ἑρμηνεύεται δίδυμος, ὅ ἐστι δισταγμός ἤ διστάζων (≡14E_**118**≡> τοῖς λογισμοῖς, καί διά τοῦτο χωρίς τῆς τῶν τύπων τῶν ἥλων ψηλαφήσεως μηδέ πιστεύων γεγονέναι τοῦ Λόγου τήν ἀνάστασιν. Θωμᾶς οὖν ἐστι πᾶς διστακτικός ἄνθρωπος τήν τοῦ ἐν αὐτῷ Λόγου τῆς ἀρετῆς καί τῆς γνώσεως γίνεσθαι δυσκόλως πιστεύων ἀνάστασιν, ὅντινα μόνον αἱ μνῆμαι τῶν προγεγονότων ἁμαρτημάτων, ἀπαθῶς τυπούμεναι κατά διάνοιαν, πείθουσι τοῦ ἐν αὐτῷ θείου Λόγου δέξασθαι τήν ἀνάστασιν, καί ὁμολογῆσαι αὐτόν Κύριον καί Θεόν· Κύριον μέν ὡς τῆς κατά πρᾶξιν τελειότητος νομοθέτην, Θεόν δέ ὡς τῆς κατά τήν θεωρίαν παντελοῦς μυσταγωγίας ὑφηγητήν. Ἀπαθής δέ μνήμη ἐστί τῶν προγεγενημένων τύπωσις ἡ χωρίς ἡδονῆς καί λύπης περί πρᾶξιν καί Λόγον ἐγγινομένη τῇ ψυχῇ περί τῶν ἰδίων ἔργων ἤ νοημάτων διάγνωσις, τύπους, ἀλλ᾽ οὐ τρήσεις ἔχουσα τῶν τραυμάτων διά τήν ἐγγενομένην ἀπάθειαν συνουλωθέντων.

PMA (141). **ΑΛΛΟ ΘΕΩΡΗΜΑ ΕΙΣ ΤΟ ΑΥΤΟ**

Ἄλλο θεώρημα εἰς τό αὐτό.

Ἤ πάλιν ἧλοι τυγχάνουσιν οἱ κατά τήν πρακτικήν φιλοσοφίαν τρόποι τῶν ἀρετῶν, προσηλωμένην μετά πόνου τῷ θείῳ φόβῳ κρατοῦντες τῆς ψυχῆς τήν (=1384=) διάθεσιν, οὕς οἱ ἀπαθεῖς καί ἁπλοῖ καί ἄῤῥητοι τῆς γνώσεως διαδεξάμενοι λόγοι διαπρύσιον βοῶσι τήν κατά τήν θέωσιν τῆς ψυχῆς γενομένην αὐτῇ τοῦ θείου Λόγου ἀνάστασιν, πιστῶς μαρτυροῦσαν προδεικνύντες τῆς θεοειδοῦς ἕξεως τήν ἀπάθειαν· ἥν ὁ μή παθών οὐδ᾽ ἄλλῳ ποτέ ἀφηγουμένῳ περί αὐτῆς πιστεύσειεν, ὥσπερ οὐδέ Θωμᾶς ταύτην παθοῦσι τήν ἀνάστασιν τοῖς ἀποστόλοις πρό τῆς διά τοῦ παθεῖν πείρας ἐπίστευσε λέγουσιν.

PMB (142). **..». ΑΝ ΕΙΣ ΑΔΟΥ ΚΑΤΙΗ, ΣΥΓΚΑΤΕΛΘΕ. ΓΝΩΘΙ ΚΑΙ ΤΑ ΕΚΕΙ ΤΟΥ ΘΕΟΥ ΜΥΣΤΗΡΙΑ..».**

(≡14E_**120**≡>

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· «Ἄν εἰς ᾅδου κατίῃ, συγκάτελθε. Γνῶθι καί τά ἐκεῖ τοῦ Θεοῦ μυστήρια τίς ὁ λόγος τῆς διπλῆς καταβάσεως».

Ὁ πνευματικός ἄνθρωπος πανταχοῦ γινώσκων ἀχράντως ὑπάρχειν τόν τοῦ Θεοῦ Λόγον ἕπεται διά θεωρίας αὐτῷ, τῆς ἐπί πάντα προνοίας μετά συνέσεως τήν ἐπιστήμην δρεπόμενος. Οὕτω καί εἰς ᾅδου κατερχομένῳ τῷ Λόγῳ συγκάτεισιν, οὐκ ἐπί κακῷ δῆλον, ἀλλ᾽ ἐπί τῷ ἐρευνῆσαι καί μαθεῖν τό μυστήριον τῆς εἰς τόν ᾅδην τοῦ Θεοῦ καταβάσεως, καί τῶν ἐκεῖσε γινομένων τε καί ἐπιτελουμέων τόν ὑπερφυᾶ διδαχθῆναι λόγον.

PMΓ (143). **ΑΛΛΟ ΘΕΩΡΗΜΑ ΕΙΣ ΤΟ ΑΥΤΟ**

Ἄλλο θεώρημα εἰς τό αὐτό.

Ἤ πάλιν, ἐπειδή ᾅδης ἐστί πᾶσα ἁμαρτία, ζοφεράν καί ἀειδῆ καί διεφθαρμένην τήν ὑπ᾽ αὐτῆς κρατουμένην ἀπεργαζομένη ψυχήν, ὁ περί παθῶν διαλεγόμενος εἰς ᾅδην κατιόντι τῷ λόγῳ τῆς διδασκαλίας συγκάτεισι, τήν ὑφ᾽ ἑκάστης κακίας νεκρωθεῖσαν ἀρετήν διά τοῦ λόγου ζωοποιῶν καί εἰς ἀνάστασιν ἄγων, καί τά δεσμά τῆς ὑλικῆς προσπαθείας τῶν ψυχῶν, ἀνδρικῶς τῷ λόγῳ συνδιαῤῥήσσων. Λόγος δέ τῆς διπλῆς καταβάσεως κατά τόν πρόχειρον νοῦν ἐστι, πρός μέν τήν πρώτην ἐπιβολήν, τό καί μετά σωμάτων ψυχάς σώζειν διά πίστεως καί ἀγωγῆς βίου καθαρᾶς, ἐπί τῆς γῆς, καί χωρίς σωμάτων εἰς τόν ᾅδην κατελθόντα τόν Λόγον τάς ἐκεῖσε τῶν προτετελευτηκότων ψυχάς διά μόνης περιποιεῖσθαι τῆς πίστεως δύνασθαι· πρός δέ τήν δευτέραν ἐπιβολήν, τό καί τήν ἕξιν τῆς κακίας καί (≡14E_122≡> τήν ἐνέργειαν ὑπό τοῦ Λόγου δέχεσθαι τήν πρός ἀρετήν καί γνῶσιν ἐπάνοδον.

PMΔ (144). **..».ΚΑΝ ΕΙΣ ΟΥΡΑΝΟΥΣ ΑΝΙΗ, ΣΥΝΑΝΕΛΘΕ. ΓΕΝΟΥ ΜΕΤΑ ΤΩΝ ... ΑΓΓΕΛΩΝ..».**

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· «Κἂν εἰς οὐρανούς ἀνίῃ, συνάνελθε. Γενοῦ μετά τῶν παραπεμπόντων ἀγγέλων ἤ τῶν δεχομένων· ἀρθῆναι ταῖς πύλαις διακέλευσαι».

Ὁ διά πολλήν περιουσίαν γνώσεως καί τήν τοῦ Πνεύματος τοῦ ἁγίου πλουσίαν μετοχήν τόν περί προνοίας ἀρκούντως κατά τό δυνατόν περαιώσας λόγον, καί τήν κατ᾽ αὐτόν ἐπιστήμην περιλαβών εἰς οὐρανούς ἀπό γῆς ἀνιόντι τῷ Λόγῳ συνάνεισι, τήν πάντων τῶν προνοουμένων φύσιν, ὁρατῶν τε καί ἀοράτων, μετά τῶν κατ᾽ αὐτήν λόγων γνωστικῶς (=1385=) διαπεράσας, καί εἰς τήν οὐδ᾽ ὅλως τήν οἱανοῦν φοράν ἤ κίνησιν ἔχουσαν, πρός ἥν ἠπείγετο μάλιστα, διά παντός λόγου τε καί τρόπου λῆξιν ἀναληφθείς, ἀπό τῶν παραπεμπόντων ὥσπερ ἀγγέλων τινῶν τῶν ἐν τοῖς οὖσι τῆς προνοίας λόγων ἐπί τήν τῶν ὑποδεχομένων ἀῤῥήτων τῆς θεολογίας λόγων τε καί μυστηρίων χώραν ἀναγόμενος, καί ταῖς κατά μέρος ἀναβάσεσιν ὑψηλοτέρας ποιῶν πρός ὑποδοχήν τοῦ θεαρχικωτάτου Λόγου, τάς νοερᾶς τῆς ψυχῆς πύλας.

PME (145). **ΑΛΛΟ ΘΕΩΡΗΜΑ ΕΙΣ ΤΟ ΑΥΤΟ**

Ἄλλο θεώρημα εἰς τό αὐτό.

Καί ἑτέρως δέ πάλιν ἀνιόντι τῷ λόγῳ συνάνεισιν ὁ ἀπό τῶν κατ᾽ ἀρετήν τρόπων τῆς πρακτικῆς φιλοσοφίας ὥσπερ ἀπό τινος γῆς εἴς τινας οὐρανούς τούς κατά θεωρίαν πνευματικούς (≡14E_124≡> τῆς γνώσεως τῷ ἀνατατικῶς ἕλκοντι θείῳ συνυψούμενος Λόγῳ.

PMS (146). **ΑΛΛΟ ΘΕΩΡΗΜΑ ΕΙΣ ΤΟ ΑΥΤΟ**

Ἄλλο θεώρημα εἰς τό αὐτό.

Καί μυστικώτερον ἔτι περί τούτων εἰπεῖν, ὁ δυνάμενος ἀπό τῆς κατά τήν οἰκονομίαν γνώσεως, ἀφ᾽ ἧς ὁ τῆς σαρκός τοῦ Λόγου

κόσμος γέγονε παρά τῷ Πατρί, εἰς τήν τῆς πρό τοῦ τόν κόσμον τῆς τοῦ Λόγου σαρκώσεως εἶναι παρά τῷ Πατρί δόξης ἔννοιαν ἀναχθῆναι, κατά ἀλήθειαν οὗτος συνανῆλθεν εἰς οὐρανούς τῷ δι᾽ αὐτόν ἐπί γῆς κατελθόντι Θεῷ καί Λόγῳ, πληρώσας τῆς ἀνθρώποις χωρητῆς κατά τόν αἰῶνα τοῦτον γνώσεως τό μέτρον, καί γενόμενος τοσοῦτον Θεός ὅσον ἐκεῖνος ἄνθρωπος, τῷ ὑψωθῆναι τοσοῦτον ταῖς θείαις ἀναβάσεσι διά τόν Θεόν, ὅσον διά τόν ἄνθρωπον ὁ Θεός πρός τό ἔσχατον τῆς ἡμετέρας φύσεως ἑαυτόν ἀτρέπτως κενώσας κατελήλυθεν.

PMZ (147). **...ΕΚ ΤΟΥ ΕΙΣ ΤΗΝ ΚΑΙΝΗΝ ΚΥΡΙΑΚΗΝ ..».ΕΓΚΑΙΝΙΖΕΤΑΙ ΔΕ Η ΣΚΗΝΗ ΤΟΥ ΜΑΡΤΥΡΙΟΥ..».**

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τήν Καινήν Κυριακήν λόγου, εἰς τό· «Ἐγκαινίζεται δέ ἡ σκηνή τοῦ μαρτυρίου, καί λίαν πολυτελῶς, ἥν Θεός παρέδειξε, καί Βεσελεήλ ἐτελείωσε καί Μωϋσῆς ἐπήξατο».

Πολύτροπον ὄντα τόν κατα τήν σκηνήν ἀναγωγικόν τής θεωρίας λόγον ἐπί τοῦ παρόντος ὡς ἔλαβεν αὐτόν ὁ διδάσκαλος καί ἡμεῖν θεωρήσωμεν αὐτόν. Σκηνή τοιγαροῦν τοῦ μαρτυρίου (≡14E_**126**≡> ἡ μυστηριώδης ἐστίν οἰκονομία τῆς τοῦ Θεοῦ Λόγου σαρκώσεως, ἥν ὁ Θεός καί Πατήρ εὐδοκήσας παρέδειξε, καί τό Πνεῦμα τό ἅγιον διά τοῦ σοφοῦ Βεσελεήλ προτυπούμενον συνεργῆσαν ἐτελείωσε, καί ὁ νοητός Μωϋσῆς ὁ τοῦ Θεοῦ καί Πατρός μονογενής Υἱός αὐτούργησε, τήν ἀνθρωπίνην φύσιν ἐν ἑαυτῷ πηξάμενος ἑνώσει τῇ καθ᾽ ὑπόστασιν.

PMH (148). **ΑΛΛΟ ΕΙΣ ΤΟ ΑΥΤΟ ΘΕΩΡΗΜΑ**

Ἄλλο εἰς τό αὐτό θεώρημα.

Πλήν ὅτι καί τῆς ὅλης κτίσεως νοητῆς τε καί αἰσθητῆς ἐστιν εἰκών ἡ σκηνή, ἥν ὁ Θεός καί (=1388=) Πατήρ οἷα Νοῦς ἐνενόησε, καί ὁ Υἱός οἷα Λόγος ἐδημιούργησε, καί τό Πνεῦμα τό ἅγιον ἐτελείωσε. Καί αὖθις τῆς αἰσθητῆς μόνης φύσεως, καί μόνου τοῦ ἀνθρώπου τοῦ ἐκ ψυχῆς ὄντος καί σώματος, καί μόνης αὖ τῆς ψυχῆς καθ᾽ ἑαυτήν τῷ λόγῳ θεωρουμένης, ἐστίν εἰκών ἡ σκηνή, κατά τόν ἑκάστῳ πρέποντα δηλαδή θεωρουμένη λόγον.

PMΘ (149). **..». ΕΓΚΑΙΝΙΖΕΤΑΙ ΔΕ Η ΒΑΣΙΛΕΙΑ ΔΑΒΙΔ, ΚΑΙ ΟΥΧ ΑΠΑΞ, ΑΛΛΗ ΧΡΙΣΜΕΝΟΥ ..».**

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· «Ἐγκαινίζεται δέ ἡ βασιλεία Δαβίδ, καί οὐχ ἅπαξ, ἀλλά χριομένου τό πρότερον, καί ἀναγορευομένου τό δεύτερον».

Ὁμοίως καί τόν μέγαν Δαβίδ τόν προφήτην καί βασιλέα, πολύσεμνον ἔχοντα τόν ἐπ᾽ αὐτῷ τῆς ἀναγωγῆς λόγον, καθ᾽ ὅν ἐπί τοῦ παρόντος αὐτόν ὁ διδάσκαλος ἐθεώρησε, καί ἡμεῖς ἐκδεξώμεθα. Δαβίδ τοίνυν ἐστί νοητός ὁ ἀληθινός βασιλεύς τοῦ Ἰσραήλ καί ὁρῶντος Θεόν Ἰησοῦς Χριστός, κατά μέν τήν (≡14E_**128**≡> πρώτην αὐτοῦ παρουσίαν, τῇ ἐπινοίᾳ τῆς ἀνθρωπότητος χριόμενος, ὥσπερ ἀλλαχοῦ φησιν ὁ διδάσκαλος, χρίσας τήν ἀνθρωπότητα τῇ θεότητι, καί ποιήσας ὅπερ τό χρίσαν· κατά δέ τήν δευτέραν αὐτοῦ

καί ἔνδοξον ἐπιφάνειαν, ὡς Θεός καί Κύριος καί πάσης κτίσεως βασιλεύς, καί ὑπάρχων καί ἀναγορευόμενος.

PN (150). **..».... ΕΠΙΛΑΘΟΜΕΝΟΣ ΤΗΣ ΙΔΙΑΣ ΑΠΟΦΑΣΕΩΣ, ΤΗΝ ΤΩΝ ΕΓΚΑΙΝΙΩΝ ΗΜΕΡΑΝ ..».**

Εἰς τόν παρόντα λόγον τινές ἀποροῦσι φάσκοντες, Τί δήποτε φήσας ὁ διδάσκαλος ὑπερβαίνειν τήν ἀναστάσιμον ἡμέραν πάσας τάς ἐπί γῆς ἑορτάς, οὐ τάς ἀνθρωπικάς μόνον καί χαμαί ἐρχομένας, ἀλλ᾽ ἤδη καί τάς αὐτοῦ τοῦ Χριστοῦ καί ἐπ᾽ αὐτῷ τελουμένας, ὥσπερ ἐπιλαθόμενος τῆς ἰδίας ἀποφάσεως, τήν τῶν ἐγκαινίων ἡμέραν ταύτης ὑπερτίθησιν εἰπών, «Ὑψηλῶς ὑψηλοτέρα, καί θαυμασίας θαυμασιοτέρα», ὡς ἐκ τούτου νομισθῆναι ἑαυτῷ περιπίπτειν τόν διδάσκαλον.

Πρός ταῦτα λεκτέον, ὡς αὐτός ὁ διδάσκαλος ἐν τῷ αὐτῷ λόγῳ μετά τινά φησιν· «Οὐ βούλεταί σε ὁ λόγος ποτέ ἐν τῷ αὐτῷ μένειν, ἀλλ᾽ ἀεί κινητόν εἶναι, εὐκίνητον, πάντως νεόκτιστον». Ὥσπερ οὖν τόν ἐγκαινιζόμενον ὑψηλότερον ἑαυτοῦ γίνεσθαι καί θεοειδέστερον ταῖς εἰς ἀρετήν προκοπαῖς φαιδρυνόμενον γινώσκομεν, οὕτω δή καί πᾶσαν δι᾽ ἡμᾶς ἐπινοηθεῖσαν ἑορτῆς ἡμέραν ἐν ἡμῖν καί δι᾽ ἡμῶν ἑαυτῆς ὑψηλοτέραν γίνεσθαι (≡14E_**130**≡> πιστεύειν ἡμᾶς χρή, τοῦ δι᾽ αὐτῆς σημαινομένου μυστηρίου τήν οἰκείαν δύναμιν ἐν ἡμῖν πρός τελείωσιν ἄγοντος. Εἰκότως οὖν ὑψηλῆς ὑψηλοτέραν τήν καινήν ὁ διδάσκαλος ἔφη Κυριακήν, ὡς ἀεί τῆς αὐτῆς ἡμῖν συνυψουμένης, καί ἑαυτήν ὑπερβαινούσης· οἷα τῆς ἀναστάσεως, λέγω δέ τῆς πρώτης Κυριακῆς, κρυφίως διά τοῦ κατ᾽ αὐτήν μυστηρίου πάσης προσύλου (=1389=) μόνον φαντασίας παντάπασι καθαρεύουσαν ζωήν δωρουμένης τοῖς οὕτω τό κατ᾽ αὐτήν πνευματικῶς ἐπιτελοῦσι μυστήριον, τῆς δέ νέας Κυριακῆς πρός τούτοις καί πάσης αὐτούς ἐν μετουσίᾳ ποιούσης τῆς ὧν ἡ πρό αὐτῆς ἀπήρξατο θείων ἀγαθῶν ἀπολαύσεως.

PNA (151). **ΑΛΛΟ ΘΕΩΡΗΜΑ ΕΙΣ ΤΟ ΑΥΤΟ**

Ἄλλο θεώρημα εἰς τό αὐτό.

Εἰ δέ τῷ πιστόν εἶναι δοκεῖ τό λεγόμενον, φασί τήν μέν πρώτην Κυριακήν τύπον εἶναι τῆς κατά τήν προαίρεσιν εἰς ἀρετήν ἀναστάσεως, τήν δέ δευτέραν τῆς κατά προαίρεσιν ἕξεως εἰς γνῶσιν τελειότητος.

PNB (152). **ΑΛΛΟ ΘΕΩΡΗΜΑ ΕΙΣ ΤΟ ΑΥΤΟ**

Ἄλλο θεώρημα εἰς τό αὐτό.

Καί αὖθις τήν μέν πρώτην Κυριακήν τῆς μελλούσης φυσικῆς ἀναστάσεως καί ἀφθαρσίας εἶναι σύμβολον, τήν δέ δευτέραν τῆς κατά χάριν μελλούσης θεώσεως φέρειν εἰκόνα. Εἰ τοίνυν τῆς μέν καθαρευούσης κακῶν ἕξεως ἡ τῶν ἀγαθῶν ἀπόλαυσίς ἐστι τιμιωτέρα, τῆς δέ κατ᾽ ἀρετήν ὑγιοῦς προαιρέσεως ἕξις τῆς κατά τήν ἀληθῆ γνῶσιν τελειότητος, καί τῆς φυσικῆς ἀφθαρσίας ἡ ἐν χάριτι πρός τόν Θεόν κατά τήν θέωσιν μεταποίησις, ὧν ἡ μέν πρώτη Κυριακή φέρει τύπον, ἡ δέ δευτέρα (≡14E_**132**≡> τυγχάνει

σύμβολον, εἰκότως ὑψηλῆς ὑψηλοτέραν ἀγόμενος πνεύματι, τήν καινήν ὁ διδάσκαλος ἔφη Κυριακήν.

ΡΝΓ (153). **..». ΜΙΣΩ ΚΑΙ ΤΗΝ ΔΙ' ΑΕΡΟΣ ΣΥΝΗΘΕΙΑΝ»**

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· «Μισῶ καί τήν δι᾽ ἀέρος συνήθειαν».

Πρός γυναῖκας, καί μάλιστα τόν μονήρῃ βίον ἐπανῃρημένας, πολύν περί κατορθώσεως ἠθῶν ἀποτείνας λόγον δι᾽ ἐμφάσεως ὁ διδάσκαλος ἠπίως, οἶμαι, παραινεῖ, μή δεῖν τάς ἀσκουμένας οἴκοθεν θυρίσι κατοπτεύειν τινά παντελῶς, καί μάλιστα τούς παριόντας, ὡς ἄν μή λάβοιεν κέντρα θανάτου διά τῆς ἀκαίρου θεωρίας.

ΡΝΔ (154). **ΤΟΥ ΑΥΤΟΥ ΕΚ ΤΟΥ ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΠΕΝΤΗΚΟΣΤΗΝ ΛΟΓΟΥ..»...».**

Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τήν ἁγίαν Πεντηκοστήν λόγου, εἰς τό· «Μιᾶς δεούσης ἡμέρας, ἥν ἐκ τοῦ μέλλοντος αἰῶνος προσειλήφαμεν, ὀγδόην τε οὖσαν τήν αὐτήν καί πρώτην, μᾶλλον δέ μίαν καί ἀκατάλυτον. Δεῖ γάρ ἐκεῖσε καταλῆξαι τόν ἐνταῦθα σαββατισμόν τῶν ψυχῶν».

Ὁ ἑπτά κατά τήν ἁγίαν Γραφήν, ὡς μέν ἀριθμός μόνον λαμβανόμενος, πολλήν ἔχει φυσικῶς τήν ἐπ᾽ αὐτῷ κειμένην φιλοπονούντων τά θεῖα μυστικήν θεωρίαν. Σημαίνει γάρ καί χρόνον, καί αἰῶνα, καί αἰῶνας, κίνησίν τε καί περιοχήν καί μέτρον, καί ὅρον καί πρόνοιαν, καί ἕτερα πολλά, κατά τήν ἑκάστου λόγον καλῶς θεωρούμενος. Ὡς ἀνάπαυσις δέ μόνον σκοπούμενος, καί οὕτω πολλήν ἔχει τήν (=1392=) ἐπ᾽ αὐτῷ μυσταγωγουμένην (≡14E_**134**≡> γνῶσιν. Ἀλλ᾽ ἵνα μή καθ᾽ ἕκαστον διεξιών φορτικόν τόν λόγον ποιήσωμαι, τό δοκοῦν ὑψηλότερον τῶν ἄλλων εἶναι γυμνάσωμεν. Τρεῖς γάρ φασι τρόπους οἱ τῶν θείων ἐπιστήμονες. Ὁ σύμπας τῆς ὅλης τῶν λογικῶν οὐσιῶν γενέσεως ἔχων θεωρεῖται λόγος τόν τοῦ εἶναι, τόν τοῦ εὖ εἶναι, καί τόν τοῦ ἀεί εἶναι, καί τόν μέν τοῦ εἶναι πρῶτον κατ᾽ οὐσίαν δεδωρῆσθαι τοῖς οὖσι, τόν δέ τοῦ εὖ εἶναι δεύτερον δέδοσθαι κατά προαίρεσιν αὐτοῖς ὡς αὐτοκινήτοις, τόν δέ τοῦ ἀεί εἶναι τρίτον αὐτοῖς κατά χάριν πεφιλοτιμῆσθαι. Καί τόν μέν πρῶτον δυνάμεως, τόν δέ δεύτερον ἐνεργείας, τόν δέ τρίτον ἀργίας εἶναι περιεκτικόν. Οἷον ὁ μέν τοῦ εἶναι λόγος μόνην φυσικῶς ἔχων τήν πρός ἐνέργειαν δύναμιν, αὐτήν πληρεστάτην δίχα τῆς προαιρέσεως τήν ἐνέργειαν ἔχειν οὐ δύναται παντελῶς· ὁ δέ τοῦ εὖ εἶναι αὐτήν μόνην γνωμικῶς ἔχων τῆς φυσικῆς δυνάμεως τήν ἐνέργειαν, αὐτήν ὁλόκληρον τήν δύναμιν τό σύνολον χωρίς οὐκ ἔχει τῆς φύσεως· ὁ δέ τοῦ ἀεί εἶναι τῶν πρό αὐτοῦ καθ᾽ ὅλου περιγράφων, τοῦ μέν τήν δύναμιν, τοῦ δέ τήν ἐνέργειαν, οὔτε φυσικῶς κατά δύναμιν τοῖς οὖσιν ἐνυπάρχει παντελῶς, οὔτε μήν ἐξ ἀνάγκης τό παράπαν θελήσει προαιρέσεως ἕπεται· πῶς γάρ τοῖς ἀρχήν κατά φύσιν καί τέλος κατά κίνησιν ἔχουσιν οἷόν τε ἐκεῖναι τό ἀεί ὄν καί ἀρχήν καί τέλος οὐκ ἔχον; ἀλλ᾽ ὅρος ἐστί, στάσιμον ποιῶν τήν μέν φύσιν κατά τήν δύναμιν, τήν δέ προαίρεσιν κατά τήν ἐνέργειαν, οὐδ᾽ ἑτέρας ἀμείβων

παντάπασι τόν καθ᾽ ὅν ἐστι λόγον, καί πᾶσι πάντας αἰῶνάς τε καί χρόνους ὁρίζων. Καί τοῦτό ἐστιν, ὡς οἶμαι, τυχόν τό μυστικῶς εὐλογημένον Σάββατον, καί ἡ μεγαλη τῆς τῶν θείων ἔργων καταπαύσεως ἡμέρα, ἥτις, κατά τήν Γραφήν τῆς κοσμογενείας, οὔτε ἀρχήν, οὔτε τέλος, οὔτε γένεσιν ἔχουσα φαίνεται, ἡ μετά τήν τῶν ἐν μέτρῳ διωρισμένων κίνησιν τῶν ὑπέρ ὅρον καί μέτρησιν ἔκφανσις, καί ἡ μετά τήν τῶν κεχωρημένων καί περιγεγραμμένων (≡14E_**136**≡> ποσότητα τῶν ἀχωρήτων καί ἀπεριγράφων ἄπειρος ταὐτότης.

Ὡς ἄν οὖν ἡ κατά προαίρεσιν ἐνέργεια χρήσαιτο τῇ δυνάμει τῆς φύσεως, εἴτε κατά φύσιν, εἴτε παρά φύσιν, τό εὖ ἤ τό φεῦ εἶναι τό πέρας αὐτήν ἔχουσαν ὑποδέξεται, ὅπερ ἐστί τό ἀεί εἶναι, ἐν ᾧ σαββατίζουσιν αἱ ψυχαί, πάσης λαβοῦσαι παῦλαν κινήσεως. Ὀγδόη καί πρώτη, μᾶλλον δέ μία καί ἀκατάλυτος ἡμέρα ἡ ἀκραιφνής ἐστι τοῦ Θεοῦ καί παμφαής παρουσία, μετά τήν τῶν κινουμένων στάσιν γινομένη, καί τοῖς μέν τῷ τοῦ εἶναι λόγῳ κατά φύσιν προαιρετικῶς χρησαμένοις, ὅλου προσηκόντως ὅλοις ἐπιδημοῦντος, καί τό ἀεί εὖ εἶναι παρέχοντος διά τῆς οἰκείας μετοχῆς, ὡς μόνου κυρίως καί ὄντος καί ἀεί ὄντος καί εὖ ὄντος, τοῖς δέ παρά φύσιν τῷ τοῦ εἶναι λόγῳ γνωμικῶς χρησαμένοις, ἀντί τοῦ εὖ τό ἀεί φεῦ εἶναι κατά τό εἰκός ἀπονέμοντος, ὡς οὐκ ὄντος αὐτοῖς λοιπόν χωρητοῦ τοῦ εὖ εἶναι, ἐναντίως πρός αὐτό διακειμένοις, καί κίνησιν παντελῶς οὐκ ἔχουσι μετά τήν τοῦ ζητουμένου φανέρωσιν, καθ᾽ ἥν τοῖς ζητοῦσι πέφυκε φανεροῦσθαι τό ζητητόν.

PNE (155)**. ΑΛΛΟ ΕΙΣ ΤΟ ΑΥΤΟ ΘΕΩΡΗΜΑ**

(=1393=) Ἄλλο εἰς τό αὐτό θεώρημα.

Καί πάλιν ἑβδόμη καί Σάββατόν ἐστιν ἡ τῶν κατ᾽ ἀρετήν ἁπάντων τρόπων καί τῶν κατά θεωρίαν γνωστικῶν λόγων διάβασις. Ὀγδόη δέ ἐστιν ἡ πρός τήν ἀρχήν καί αἰτίαν τῶν πρακτικῶς πεποιημένων καί τῶν θεωρητικῶς ἐγνωσμένων κατά τήν χάριν ἀληθής μεταποίησις.

PNS (156)**. ΑΛΛΗ ΕΙΣ ΤΟ ΑΥΤΟ ΘΕΩΡΙΑ**

(≡14E_**138**≡>

Ἄλλη εἰς τό αὐτό θεωρία.

Ἔστι μέν οὖν καί αὖθις ἑβδόμη καί Σάββατον ἡ τήν κατ᾽ ἀρετήν διαδεχομένη πρακτικήν φιλοσοφίαν ἀπάθεια. Ὀγδόη δέ καί πρώτη ἐστίν, ὡς μία καί ἀκατάλυτος, ἡ μετά τήν γνωστικήν θεωρίαν ἐπιγινομένη σοφία. Καί κατ᾽ ἄλλους δέ τρόπους παντοδαπούς ἐστι δυνατόν τοῖς τῶν θείων φιλοθεάμοσι τόν περί τῶν τοιούτων ἐκδέχεσθα λόγον, καί πολλάς καλάς τε καί ἀληθεῖς ἐφευρεῖν θεωρίας.

PNZ (157)**. ... ΠΩΣ ΤΟ «ΔΙΣΣΩΣΑΤΕ ΚΑΙ ΤΡΙΣΣΩΣΑΤΕ», ΛΑΒΩΝ Ο ΔΙΔΑΣΚΑΛΟΣ..»...».**

Ἐκ τοῦ αὐτοῦ λόγου, πῶς τό· «Δισσώσατε καί τρισσώσατε», λαβών ὁ διδάσκαλος εἰς τό περί τῆς ἑβδόμης μυστήριον φησιν· «Ὡς δέ καί τήν ἑβδόμην ἀναστροφήν Ἡλίου τοῦ προφήτου, τῷ τῆς

Σαραφθίας υἱῷ, τό ζῆν ἐμπνεύσασαν, καί τοῦ αὐτοῦ τήν ἰσάριθμον κατά τῶν σχιδάκων ἐπίκλυσιν».

Ὁ μακάριος γέρων παρ᾽ ἐμοῦ τοῦτο ἐρωτηθείς ἔφη, Κατά τοῦτο τυχόν περί τοῦ ἑπτά διεξιόντα τόν διδάσκαλον ἀριθμοῦ τεκμήρασθαι δυνατόν. Πρῶτον μέν κατά τούς λεγομένους ἀριθμητικούς. Φασί γάρ ἐκεῖνοι συνίστασθαί τινας ἀριθμούς ἐκ δισσουμένων καί τρισσουμένων ἑτέρων, τῆς μονάδος, τελευταῖον προστιθεμένης. Οἷον ἐκ δισσουμένων μέν ὁ ξδ' συνίσταται, τῆς μονάδος δισσουμένης μετά τῶν ἕξ ἀριθμῶν, προστιθεμένης καί τῆς μονάδος, καί οὕτως ἡ ἑβδομάς πληροῦται, οἷον δίς α' β', δίς β' δ', δίς δ' η', δίς η' ιστ', δίς ιστ' λβ', δίς λβ' ξδ'. Τούτων οὕτω διαπλασθέντων δι᾽ ἕξ ἀριθμῶν δοκοῦσι συντεθεῖσθαι, ἀλλά παραλαμβανομένη τελευταῖον καί ἡ μονάς (≡14E_140≡> πληρεῖ τόν ἑπτά, ἐξ ἧς τήν ἀρχήν ὁ διπλασιασμός εἴληφεν. Οὕτως οὖν κἀνταῦθα τόν αὐτόν κανόνα κατασχόντες ἀπαρτίσομεν τόν ἑπτά ἀριθμόν. Φησί γάρ, " Ἐκχέατε, δισσώσατε καί τρισσώσατε. " Δίς οὖν μία β', τρίς β' ἕξ, καί ἡ πρώτη μονάς προστιθεμένη τοῖς ἑξάσιν ἀπαρτίζειν τόν ἑπτά ἀριθμόν. Φασί δέ καί συγγένειάν τινα πνευματικήν κατά μυστικήν θεωρίαν πρός τόν ζ' ἀριθμόν ἔχειν τόν γ' κατά τοιόνδε τρόπον, τῷ τήν πάνσεπτον και προσκυνητήν Τριάδα διά τοῦ γ' σημαίνεσθαι, καί πάλιν τήν αὐτήν διά τοῦ ζ', τῷ τόν ζ' ἀριθμόν παρθένον εἶναι. Τῶν γάρ (=1396=) ἐντός δεκάδος ἀριθμῶν μόνος οὗτος οὔτε γεννᾷ, οὔτε γεννᾶται. Τοῦτο δέ σαφῶς ἐνδείκνυται διεξιών ἐν τῇ βίβλῳ τῶν ἐπῶν Περί παρθενίας, οὑτωσί λέγων, "Πρώτη παρθένος ἐστίν ἁγνή Τριάς».

ΡΝΗ (158). **ΑΛΛΟ ΘΕΩΡΗΜΑ ΕΙΣ ΤΟ ΑΥΤΟ**

Ἄλλο θεώρημα εἰς τό αὐτό.

Ἤ καί οὕτως. Τῇ ἁγίᾳ Τριάδι μυστικῶς τῷ λόγῳ τήν αὐτῆς ἐπιθεωρήσας ἐνέργειαν, φημί δέ τό ἀγαθόν ὅπερ τάς τέσσαρας ἐμφαίνει γενικάς ἀρετάς, τόν ἑπτά πληρώσεις ἀριθμόν. Τῇ γάρ ἁγίᾳ καί πανυμνήτῳ Τριάδι μυστικῶς τήν αὐτῆς ἐπιθεωροῦντες ἐνέργειαν τόν ἑπτά παρθένον ἀπαρτίζομεν ἀριθμόν.

ΡΝΘ (159). **..». ΙΗΣΟΥΣ ΔΕ ΑΥΤΟΣ, Η ΚΑΘΑΡΑ ΤΕΛΕΙΟΤΗΣ, ΟΙΔΕ ΜΕΝ ΤΡΕΦΕΙΝ ΕΝ ΕΡΗΜΙΑ ..».**

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· Ἰησοῦς δέ αὐτός, ἡ καθαρά τελειότης, οἷδε μέν τρέφειν ἐν ἐρημίᾳ καί πέντε ἄρτοις πεντακισχιλίους, οἷδε δέ πάλιν καί ἑπτά τετρακισχιλίους· καί τά τοῦ κόρου λείψανα ἐκεῖ μέν (≡14E_142≡> δώδεκα κόφινοι, ἐνταῦθα δέ σπυρίδες ζ΄. Οὐθέτερον ἀλόγως οἶμαι, οὐδέ ἀναξίως τοῦ Πνεύματος.

Γυμνασθεῖσαν ἤδη πρός θεωρητικήν ἕξιν ἐν τοῖς προλαβοῦσι διά πλάτους, ὡς οἷόν τε ἦν, εἰρημένοις τήν διάνοιαν, πλήθει λόγων αὐτήν, εἰ δοκεῖ, μή βαρήσωμεν, δυναμένην λοιπόν καί κατ᾽ ἐπιτομήν τήν τῶν θείων ἐπιστημόνως δέχεσθαι θεωρίαν. Οἱ κρίθινοι τοιγαροῦν πέντε ἄρτοι τούς προχείρους τῆς φυσικῆς

θεωρίας παραδηλοῦσι λόγους. Οἱ δέ τούτοις τρεφόμενοι πεντακισχίλιοι ἄνδρες τούς περί φύσιν μέν κινουμένους, οὔπω δέ πάντη τῆς περί τό παθητικόν καί ἄλογον τῆς ψυχῆς μέρος ἐκκαθαρθέντας σχετικῆς διαθέσεως ἐμφαίνουσι. Ὡς νοεῖν δίδωσι τοῖς τῶν τοιούτων λόγων θεάμασι ἐκ κριθῆς εἶναι τούς ἄρτους, κοινόν δέ τοῦτο κτηνῶν τε καί ἀνθρώπων εἶδος ὑπάρχει τροφῆς, καί τό σύν γυναιξίν εἶναι καί παισίν, ὅπερ δηλοῖ σαφῶς μή τῶν καθ᾽ ἡδονήν παντελῶς ἐπιθυμιῶν καί τῆς ἀτελοῦς τῶν λογισμῶν νηπιότητος αὐτούς ἠλλοτριῶσθαι. Ἡ δέ ἔρημος ἐστιν ὁ κόσμος οὗτος, ἐν ᾧ τοῖς διά τῆς φυσικῆς θεωρίας περί τό θεῖον κινουμένοις τούς τῆς φύσεως πνευματικῶς διαθρύπτων λόγους ὁ τοῦ Θεοῦ Λόγος πᾶσαν ἀγαθῶν χαρίζεται πλησμονήν, ὡς δηλοῦσιν οἱ τῶν περισσευμάτων κόφινοι, δώδεκα ὄντες τόν ἀριθμόν.

ΡΞ (160). **ΘΕΩΡΙΑ ΕΙΣ ΤΟ ΙΒ΄ ΑΡΙΘΜΟΝ**

Θεωρία εἰς τό ιβ΄ ἀριθμόν.

Ἐμφαίνει δέ ὁ δώδεκα ἀριθμός, ἤ τούς κατά χρόνον καί φύσιν λόγους, ὡς ἐκ πέντε καί ἑπτά κατά σύνθεσιν συμπληρούμενος. Ἑβδοματικός γάρ ὁ χρόνος, ὡς κυκλικῶς κινούμενος, καί τήν πρός τό κινεῖσθαι προσφυῶς ἔχων ἐπιτηδειότητα, τήν (≡14E_**144**≡> τῶν ἄκρων ἀπό τοῦ μέσου κατά τόν ἀριθμόν τοῦτον ἴσην (=1397=) ἀπόστασιν. Πενταδική ἡ φύσις, ὑπό τόν ἀριθμόν τόν πέντε πεφυκυῖα τάττεσθαι, διά τε τό πλέον τῆς ἁπλῶς λεγομένης ὕλης τῆς τετραχῶς διαιρουμένης ἔχειν τό εἶδος. Ἡ φύσις γάρ οὐδέν ἄλλο καθέστηκεν οὖσα ἤ ὕλη εἰδοποιημένη. Τό γάρ εἶδος τῇ ὕλῃ προστεθέν φύσιν ἀπεργάζεται.

ΡΞΑ (161). **ΑΛΛΟ ΘΕΩΡΗΜΑ ΕΙΣ ΤΟ ΑΥΤΟ**

Ἄλλο θεώρημα εἰς τό αὐτό.

Ἤ τάς τῶν ὄντων γενητῶν καί αἰωνίων νοήσεις, ὡς κινουμένων καί περιγεγραμμένων, καί τόν τοῦ τί καί ποῖον καί πῶς εἶναι λόγον ἐπιδεχομένων. Πᾶν γάρ κινητόν τε καί γενητόν ὑπάρχει, καί διά τοῦτο πάντως καί ὑπό χρόνον ἐστί, κἄν εἰ μή τόν κινήσει μετρούμενον. Ἀρχήν γάρ ἔχει τοῦ εἶναι πᾶν γενητόν ὡς ἠργμένον τοῦ εἶναι, καί διάστημα, ἀφ᾽ οὗ τοῦ εἶναι ἤρξατο. Εἰ δέ καί ἔστι καί κινεῖται πᾶν γενητόν, καί ὑπό φύσιν πάντως ἐστί καί χρόνον, τήν μέν διά τό εἶναι, τόν δέ διά τό κινεῖσθαι, δι᾽ ὧν κατά συμπλοκήν ὁ τοῦ δώδεκα κατά τόν ἀποδοθέντα τρόπον συμπληροῦται λόγος.

ΡΞΒ (162). **ΑΛΛΗ ΘΕΩΡΙΑ**

Ἄλλη θεωρία.

Ἤ τήν ἠθικήν καί φυσικήν καί θεολογικήν φιλοσοφίαν ὁ (≡14E_**146**≡> ἀριθμός οὗτος δηλοῖ, ὡς ἐκ τεσσάρων καί πέντε καί τριῶν συναγόμενος. Τετραδική γάρ διά τάς δ᾽ γενικάς ἀρετάς ἐστιν ἡ ἐν τοῖς πράγμασι κατ᾽ ἦθος ἀκριβής φιλοσοφία. Πενταδική δέ ἡ φυσική θεωρία διά τήν εἰρημένην αἰτίαν, φημί δέ τήν πενταχῶς

κατά φύσιν διαιρουμένην αἴσθησιν. Τριαδική δέ ἡ μυστική θεολογία, διά τάς ὁμοουσίους ἁγίας τρεῖς ὑποστάσεις τῆς παναγίου μονάδος, ἤ ἐν αἷς ἡ ἁγία μονάς, ἤ, κυριώτερον εἰπεῖν, ἅπερ ἡ ἁγία μονάς.

ΡΞΓ (163). **ΑΛΛΗ ΘΕΩΡΙΑ**

Ἄλλη θεωρία.

Ἤ τήν καθόλου καί γενικωτάτην ἀρετήν καί γνῶσιν, τήν μέν ὡς ἐνταῦθα διά τῶν δ' ἀρετῶν κατορθουμένην, τήν δέ ὡς διά τῶν ὀκτώ τήν θεωτέραν τῶν μελλόντων μυστικῶς παραδηλούσων κατάστασιν σημαινομένην, ἐξ ὧν ὁ δώδεκα κατά σύνθεσιν ἀριθμός ἀπαρτίζεται.

ΡΞΔ (164). **ΑΛΛΗ ΘΕΩΡΙΑ**

Ἄλλη θεωρία.

Ἤ τά παρόντα τε καί τά μέλλοντα, ὡς τῶν μέν παρόντων τόν δ΄ στοιχειώδη τε καί ὑλικόν ἀριθμόν ὄντα φυσικῶς παραδεχομένων, τῶν δέ μελλόντων μυστικῶς ἐπιθεωρούμενον αὐτοῖς ἐπιδεχομένων τόν ὀκτώ ἀριθμόν, ὡς τῆς κατά χρόνον ἑβδοματικῆς ὑπερθετικῆς ἰδιότητος.

ΡΞΕ (165). **ΑΛΛΗ ΘΕΩΡΙΑ**

(=1400=) Ἄλλη θεωρία.

Ἤ τούς περί νοητῶν καί αἰσθητῶν κρίσεώς τε καί προνοίας (≡14E_**148**≡> τριττούς λόγους ὁ δώδεκα σαφῶς ἀριθμός παραδηλοῖ. Ἕκαστον γάρ τούτων ἐφ᾽ ἑαυτό τοῦ εἶναι τοῦθ᾽ ὅπερ ἐστί τρεῖς ἐπιδέχεται λόγους, καθώς τοῖς ἄκροις λόγοις τῶν θείων μύσταις καί μυσταγωγοῖς διά πολλήν ἄσκησιν τῶν λογίων ἐκ πολλῶν κατάδηλον γέγονε. Τριπλασιάζοντες οὖν ἑαυτοῖς οἱ καθόλου τριττοί τῶν ὄντων λόγοι τά ἐφ᾽ οἷς θεωροῦνται δ΄ ὄντα, ἤ τό ἔμπαλιν τοῖς ὧν εἰσιν αὐτοί τετραπλούμενοι, τόν δώδεκα ποιοῦσιν ἀριθμόν. Εἰ γάρ τά ὄντα οὐσίαν ἔχει καί δύναμιν καί ἐνέργειαν, τριττόν τόν ἐπ᾽ αὐτοῖς τοῦ εἶναι δηλονότι κέκτηνται λόγον. Εἰ δέ τούτους συνδεῖ τούς λόγους πρός τό εἶναι δηλονότι καθό εἰσιν ἡ πρόνοια, τριπλοῦς καί ὁ αὐτῆς πάντως ὑπάρχων καθέστηκε λόγος. Εἰ δέ τῶν λωβώσεων τῶν καθ᾽ ἕνα τῶν εἰρημένων παρατραπέντων λόγων, παρελθουσῶν τε καί παρουσῶν καί μελλουσῶν, ἡ κρίσις ἐστί τιμωρητική ὡς κακίας κολαστική, τριπλοῦν ἔχει καί αὐτή τόν ἐπ᾽ αὐτῇ τῆς θεωρίας λόγον, καθ᾽ ὅν οὐσίαν τε καί δύναμιν καί ἐνέργειαν τῶν ὄντων περιγράφουσα μένει τήν οἰκείαν εἰς τό διηνεκές ἀοριστίαν φυλάττουσα.

ΡΞS (166). **ΑΛΛΗ ΘΕΩΡΙΑ**

Ἄλλη θεωρία.

Ἤ πάλιν τήν ἐφικτήν τοῦ αἰτίου καί τῶν αἰτιατῶν τελείαν ἐπίγνωσιν ὁ ἀριθμός οὗτος δηλοῖ. Δεκάδι γάρ προστεθεῖσα δυάς ποιεῖ τόν ιβ΄· δεκάς δέ ἐστιν Ἰησοῦς ὁ Κύριος καί Θεός τῶν ὅλων,

ὡς ἀνεκφοιτήτως ταῖς ἀπό μονάδος προόδοις πρός ἑαυτόν μοναδικῶς πάλιν ἀποκαθιστάμενος. Μονάς γάρ καί ἡ δεκάς, καί ὡς ὅρος τῶν ὁριζομένων καί περιοχή τῶν κλινουμένων καί πέρας πάσης ἀριθμητικῆς ἀποπερατώσεως. Καί δυάς ἐστι πάλιν πᾶσα τῶν μετά Θεόν ὄντων ἡ σύμπηξις, οἷον τά μέν αἰσθητά πάντα ὡς ἐξ ὕλης συνεστηκότα καί εἴδους ἐστί δυάς, (≡14E_150≡> τά δέ νοητά, ὡσαύτως ἐξ οὐσίας καί τοῦ εἰδοποιοῦντος αὐτά οὐσιωδῶς συμβεβηκότος. Οὐδέ γάρ ἐστι τό παράπαν γενητόν κυρίως ἁπλοῦν, ὅτι μή τόδε μόνον ἐστίν ἤ τόδε, ἀλλ᾽ ὡς ἐν ὑποκειμένῳ τῇ οὐσίᾳ ἔχει τήν συστατικήν τε καί ἀφοριστικήν διαφοράν συνεπιθεωρουμένην, τήν αὐτό μέν ἐκεῖνο συνιστῶσαν, ἄλλου δέ αὐτό φανερῶς διακρίνουσαν. Οὐδέν δέ καθ᾽ οἱονδήποτε τρόπον οὐσιωδῶς ἔχον συνεπιθεωρούμενόν τι πρός δήλωσιν τῆς οἰκείας ὑπάρξεως δύναται κυρίως εἶναι ἁπλοῦν.

ΡΞΖ (167)**. ΑΛΛΗ ΘΕΩΡΙΑ**

Ἄλλη θεωρία.

Ἤ πάλιν τήν θείαν οὐσίαν καί τήν αὐτῆς δραστικήν ἐνέργειαν ἐπικεκρυμμένως ὁ ἀριθμός οὗτος ὑποσημαίνει. Τήν μέν θείαν οὐσίαν, διά τοῦ τρεῖς ἀριθμοῦ δηλουμένην ὡς τριαδικῶς ὑμνουμένην διά τήν τρισυπόστατον ὕπαρξιν· τριάς γάρ ἐστιν ἡ μονάς (=1401=) ὡς ἐν τελείαις οὖσα τελεία ταῖς ὑποστάσεσιν, ἤγουν τῷ τῆς ὑπάρξεως τρόπῳ, καί μονάς ἐστιν ἡ τριάς ἀληθῶς τῷ τῆς οὐσίας, ἤγουν τῷ τοῦ εἶναι λόγῳ. Τήν δέ δραστικήν ἐνέργειαν διά τοῦ ἕξ ἀριθμοῦ μηνυομένην, ὡς μόνου τῶν ἐντός δεκάδος ἀριθμοῦ τελείου καί πλήρους, καί ἐκ τῶν οἰκείων συνισταμένου μερῶν, καί τῶν αὖ καθόλου καί ἀνίσων ἀριθμῶν περιεκτικοῦ, τοῦ ἀρτίου φημί καί τοῦ περιττοῦ, ὡς καί μόνην τελείαν τελείων, καθ᾽ ὅν εἰσι λόγον, ἀπεργαστικήν τε καί φρουρητικήν. Ἄνισα γάρ τά μετά τοῖς ἄκροις κινούμενα πρός τήν τῶν ἄκρων ἀεικίνητον στάσιν. Οἷον ἵν᾽ ἐξ ἑνός καί τῶν λοιπῶν ποιήσωμαι τοῖς φιλοπόνοις τήν ἔνστασιν, ἄκρον μέν ἐστι τό· Καί εἶπεν ὁ Θεός, Ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καί καθ᾽ ὁμοίωσιν· μέσον δέ τό· Καί ἐποίησεν ὁ Θεός τόν ἄνθρωπον, (≡14E_152≡> ἄρσεν καί θῆλυ ἐποίησεν αὐτούς· καί ἄκρον πάλιν· Ἐν γάρ Χριστῷ Ἰησοῦ οὐκ ἔστιν οὔτε ἄρσεν οὔτε θῆλυ. Τῶν ἄκρων οὖν καί τῶν μέσων ἀνίσων ὄντων, ὡς τῶν μέν τό ἄῤῥεν ἐχόντων καί τό θῆλυ, τῶν δέ μή ἐχόντων, ἐστί ποιητική τε καί περιεκτική ἡ θεία ἐνέργεια, ἥντινα μυστικῶς, καθάπερ οἶμαι, μυηθείς ὁ σοφώτατος Μωϋσῆς, καί τοῖς λοιποῖς τῶν ἀνθρώπων ἀγαθοπρεπῶς ὑπεμφαίνων, ἐν ἕξ ἡμέραις γέγραφε τόν Θεόν πεποιηκέναι τόν σύμπαντα κόσμον· ᾗτινι καθ᾽ εἱρμόν καί καί τάξιν μετά τῆς προνοίας καί τῆς κρίσεως τῶν ὄντων πρεπόντως συνεπιθεωροῦντες τήν γένεσιν (περιέχεται γάρ αὐτῇ ταῦτα) τόν ιβ΄ πληρέστατον ἀπαρτίζομεν ἀριθμόν.

ΡΞΗ (168)**. ΘΕΩΡΙΑ ΕΙΣ ΤΟΥΣ ΚΟΦΙΝΟΥΣ**

Θεωρία εἰς τούς κοφίνους.

Κοφίνους δέ φησιν ὁ λόγος, ἐν οἷς ἀπετέθη τά περισσεύσαντα, τήν παιδευτικήν οἰκονομίαν, τῶν πνευματικῶς τραφέντων τούς νοητούς τῶν εἰρημένων λόγους, διά τό μήπω τῆς παιδαγωγικῆς αὐτούς ὑπεράνω γενέσθαι διδασκαλίας, τῆς καί τά χρήσιμα δεόντως ὑποτιθεμένης, καί τήν ἀλγεινήν τοῖς οὕτω παιδευομένοις ἀγωγήν προτεινούσης, ὡς νοεῖν δίδωσιν ἡ ἐξ ἧς οἰκοδομοῦνται οἱ κόφινοι ὕλη, πληκτική κατά φύσιν ὑπάρχουσα.

ΡΞΘ (169). **ΘΕΩΡΙΑ ΤΩΝ Ζ΄ ΑΡΤΩΝ**

Θεωρία τῶν ζ΄ ἄρτων.

Οἱ δέ ἑπτά τῶν τετρακισχιλίων ἄρτοι τήν νομικήν, ὡς οἶμαι, (≡14E_**154**≡> μυσταγωγίαν ὑποτυποῦσιν, ἤτοι τούς κατ᾽ αὐτήν θειοτέρους λόγους, οὕστινας τοῖς προσμένουσι τρεῖς ἡμέρας τῷ λόγῳ, τουτέστι μεθ᾽ ὑπομονῆς τόν περί τήν ἠθικήν τε καί φυσικήν καί θεολογικήν φιλοσοφίαν περιποιητικόν τοῦ φωτισμοῦ τῆς γνώσεως πόνον μακροθύμως φέρουσιν, ὁ λόγος μυστικῶς δίδωσιν.

ΡΟ (170). **ΑΛΛΗ ΘΕΩΡΙΑ ΠΕΡΙ ΤΩΝ ΤΡΙΩΝ ΗΜΕΡΩΝ**

Ἄλλη θεωρία περί τῶν τριῶν ἡμερῶν.

Ἤ τόν φυσικόν τυχόν καί γραπτόν καί πνευματικόν νόμον αἱ τρεῖς ἡμέραι παραδηλοῦσιν, (=1404=) ὡς ἑκάστου τοῦ κατ᾽ αὐτόν πνευματικωτέρου λόγου τόν φωτισμόν τοῖς φιλοπονοῦσι παρέχοντος, καθ᾽ ἅς ἀμέμπτως οἱ καλῶς τε καί ἀληθῶς πεινῶντες τά θεῖα, τῷ Θεῷ καί Λόγῳ προσμένοντες, δέχονται τροφήν μυστικήν κατά ταὐτόν νίκης τε καί βασιλείας ἔχουσαν σύμβολα τοῦ κόρου τά λείψανα. Αἱ γάρ ἑπτά σπυρίδες ἐκ φοινίκων τήν ὕλην ἔχουσαι (νίκης δέ σύμβολον καί βασιλείας ὁ φοῖνιξ) , πρός δέ καί τῆς ἀκλονήτου πρός τάς τῶν βιαίων πνευμάτων ἐμβολάς ὑπέρ ἀληθείας ἐνστάσεως δι᾽ ἑαυτῶν τούς τραφέντας πάσης κακίας καί ἀγνωσίας νικητάς ἀποφαίνουσιν, ὡς τήν κατά παθῶν τε καί δαιμόνων παρά τοῦ Θεοῦ Λόγου ἀήττητον λαβόντας δυναστείαν.

ΡΟΑ (171). **ΘΕΩΡΙΑ ΤΟΥ ΑΡΙΘΜΟΥ ΤΩΝ ΤΕΤΡΑΚΙΣΧΙΛΙΩΝ ΑΝΔΡΩΝ**

Θεωρία τοῦ ἀριθμοῦ τῶν τετρακισχιλίων ἀνδρῶν.

Καί ὁ αὐτῶν δέ ἐκείνων τῶν τούτους τραφέντων τούς πνευματικούς λόγους ἀριθμός τῆς ἀληθοῦς αὐτῶν ἀρίδηλος μάρτυς ἐστί τελειότητος, ὡς τάς τέσσαρας γενικάς περιέχων μονάδας, ὧν πρώτη μέν ἐστιν ἡ πρώτη μονάς, δευτέρα δέ μονάς (≡14E_**156**≡> ἐστιν ἡ δεκάς, τρίτη δέ μονάς ἐστιν ἡ ἑκατοντάς, καί τετάρτη μονάς ἐστιν ἡ χιλιάς. Ἑκάστη γάρ τούτων, χωρίς τῆς πρώτης μονάδος, καί μονάς ἐστι καί δεκάς· μονάς μέν τῶν μετ᾽ αὐτήν, ὡς εἰς ἑαυτήν συντιθεμένη, καί τῷ δεκαπλασιασμῷ τήν αὐτῆς ἀπαρτίζουσα δεκάδα· δεκάς δέ, ὡς τῶν πρό αὐτῆς μονάδων τήν σύνθεσιν εἰς ἑαυτήν περιγράφουσα· χιλιάς δέ τετραπλουμένη τετρακισχιλίους ὑφίστησιν. Ἔστιν οὖν ἡ πρώτη μονάς μυστικῆς θεολογίας σύμβολον, ἡ δέ δευτέρα μονάς θείας οἰκονομίας καί ἀγαθότητος τύπος, ἡ δέ τρίτη μονάς ἀρετῆς καί γνώσεώς ἐστιν εἰκών, καί ἡ

τετάρτη μονάς τῆς καθόλου τῶν ὄντων θειοτέρας μεταποιήσεως δήλωσις.

ΡΟΒ (172). **ΑΛΛΗ ΘΕΩΡΙΑ ΕΙΣ ΤΟΝ Ζ΄. ΑΡΙΘΜΟΝ**

Ἄλλη θεωρία εἰς τόν ζ΄. ἀριθμόν.

Ὁ δέ ἑπτά ἀριθμός τῶν σπυρίδων κατ᾽ ἄλλον πρός τῷ προτέρῳ θεωρούμενος τρόπῳ, ὥς φασιν, ἐμφαίνει σοφίαν καί φρόνησιν, τήν μέν ὡς περί τήν αἰτίαν τρισσῶς κατά νοῦν κινουμένην, τήν δέ περί τά μετά τήν αἰτίαν καί περί τήν αἰτίαν ὄντα κατά λόγον διά τήν αἰτίαν τετραχῶς κινουμένην. Οὐδέτερον οὖν ἀλόγως παρά τοῦ Κυρίου γεγένηται κατά τόν μέγαν τοῦτον διδάσκαλον, οὐδέ ἀναξίως τοῦ Πνεύματος.

ΡΟΓ (173). **..». ΔΙΑΦΟΡΑ ΧΑΡΙΣΜΑΤΩΝ...ΔΕΟΜΕΝΗ ΧΑΡΙΣΜΑΤΟΣ ΠΡΟΣ ΔΙΑΚΡΙΣΙΝ ΤΟΥ ΒΕΛΤΙΟΝΟΣ»**

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τό· «Καί ἔστι διαφορά χαρισμάτων, ἄλλου δεομένη χαρίσματος πρός διάκρισιν τοῦ βελτίονος».

Ἡ διαφορά τῶν χαρισμάτων ἡ ἄλλου δεομένη χαρίσματος (≡14E_**158**≡> πρός διάκρισιν κατά τόν μέγαν τοῦτον διδάσκαλόν ἐστιν, ἡ προφητεία, καθώς οἶμαι, καί τό λαλεῖν γλώσσαις. Ἡ μέν γάρ προφητεία δεῖται τοῦ χαρίσματος τῆς διακρίσεως τῶν πνευμάτων, πρός τό γνωσθῆναι τίς καί πόθεν καί ποῦ φέρουσα (=1405=) καί ποίου πνεύματός ἐστι, καί δι᾽ ἥν αἰτίαν, μή πως φλήναφός ἐστι, μόνον εἰκῆ προφερομένη ἐκ τῆς κατά τό ἡγεμονικόν βλάβης τοῦ λέγοντος, ἤ αὐτοκίνητός τις ὁρμή τοῦ δῆθεν προφητεύοντος, ἐξ ἀγχινοίας περί τινων φυσικῶς κατά λόγον διά πολυπειρίαν τεκμαιρομένου πραγμάτων, ἤ τοῦ πονηροῦ καί δαιμονιώδους πνεύματος, ὥσπερ ἐν Μοντανῷ καί τοῖς ἐκείνῳ παραπλησίοις ἐστί τερατολογία ἐν προφητείας εἴδει τό λεγόμενον, ἤ δόξης ἕνεκεν κενῆς τοῖς ἄλλων ἄλλος τυχόν ἀβρύνεται, λέγων τε καί πομπεύων ἅπερ αὐτός οὐκ ἐγέννησεν, ὑπέρ τοῦ θαυμασθῆναι ψευδόμενος, καί πατέρα νόθον ὀρφανῶν λόγων καί νοημάτων ἑαυτόν ὑπέρ τοῦ δόξαι σοφός τις εἶναι προβάλλεσθαι οὐκ αἰσχυνόμενος. Προφῆται γάρ δύο, φησίν ὁ θεῖος Ἀπόστολος, ἤ τρεῖς λαλείτωσαν, καί οἱ ἄλλοι διακρινέτωσαν.

Τίνες δέ τυγχάνουσιν οἱ ἄλλοι δηλονότι οἱ τό χάρισμα τῆς διακρίσεως ἔχοντες τῶν πνευμάτων. Δεῖται τοίνυν ἡ μέν προφητεία, καθώς ἔφην, τῆς διακρίσεως τῶν πνευμάτων, ἵνα γνωσθῇ καί πιστευθῇ καί ἐγκριθῇ, τό δέ χάρισμα τῶν γλωσσῶν δεῖται τοῦ χαρίσματος τῆς ἑρμηνείας, ἵνα μή δόξῃ τοῖς παροῦσιν ὁ τοιοῦτος μαίνεσθαι, μή δυναμένου τινός τῶν ἀκουόντων παρακολουθῆσαι τοῖς λαλουμένοις. Ἐάν γάρ, φησίν ὁ μέγας Ἀπόστολος, λαλεῖτε γλώσσαις, εἰσέλθῃ δέ τις ἄπιστος ἤ ἰδιώτης, οὐκ ἐροῦσιν ὅτι μαίνεσθε; Καί κελεύει μᾶλλον σιωπᾶν τόν λαλοῦντα γλώσσαις, ἐάν μή ᾖ ὁ διερμηνεύων. Τό δέ "Πρός διάκρισιν" φάναι τό διδάσκαλον "τοῦ βελτίονος" φασίν οἱ τοῖς θείοις τόν νοῦν καταφωτίσαντες λόγοις ὑπερέχειν τό τῆς προφητείας καί τό τῶν γλωσσῶν χάρισμα τῶν ὧν πρός διάκρισίν τε καί διασάφησιν χρῄζουσι χαρισμάτων, τουτέστι τῆς διακρίσεως

(≡14E_160≡> τῶν πνευμάτων καί τῆς ἑρμηνείας. Ὅπερ εἰδώς ὁ διδάσκαλος ἔφη, "Πρός διάκρισιν τοῦ βελτίονος».

ΡΟΔ (174). **ΤΟΥ ΑΥΤΟΥ, ΕΚ ΤΟΥ ΕΙΣ ΗΡΩΝΑ ΤΟΝ ΦΙΛΟΣΟΦΟΝ ΛΟΓΟΥ...**

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς Ἥρωνα τόν φιλόσοφον λόγου εἰς τό· «Συμβάματα καί παρασυμβάματα».

Σύμβαμά ἐστι κατά γραμματικούς πρότασις ἐξ ὀνόματος καί ῥήματος αὐτοτελῆ διάνοιαν ἀπαρτίζουσα, οἷον, " Ἰωάννης περιπατεῖ. " Παρασύμβαμα δέ ἐστι πρότασις ἐξ ὀνόματος καί ῥήματος οὐκ αὐτοτελῆ διάνοιαν ἀπαρτίζουσα, οἷον Ἰωάννη μέλει. Φήσας οὖν τις, " Ἰωάννης περιπατεῖ, " οὐδενός ἑτέρου χρῄζειν ἔδειξε εἰπών δέ, " Ἰωάννῃ μέλει, " περί τίνος αὐτῷ μέλει παρέλειψεν εἰπεῖν.

ΡΟΕ (175). **ΤΟΥ ΑΥΤΟΥ ΕΚ ΤΟΥ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΒΑΣΙΛΕΙΟΝ ΕΠΙΤΑΦΙΟΥ...**

Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τόν ἅγιον Βασίλειον ἐπιταφίου, εἰς τό· «Ἐπ᾽ οὐδενός οὖν τῶν ἁπάντων οὐκ ἔστιν ἐφ᾽ ὅτῳ οὐχί τῶν ἁπάντων».

Ὅτι ποτέ τις ἀποδέχεται τῶν καλῶν, κατ᾽ ἐκεῖνο (=1408=) πάντως καί ποιεῖται τήν ἐπίδοσιν καί τοῖς περί αὐτοῦ λεγομένοις δῆλον ἥδεται καί παρακαλεῖται. Ἥδεται μέν προστιθέμενος αὐτῷ πλέον κατά ψυχήν ὡς καταθυμίῳ πράγματι, παρακαλεῖται δέ τῆς κατ᾽ αὐτό πλείονος ἐπιδόσεως, ἐκ τοῦ περί αὐτοῦ δεχόμενος ἐπαίνου μείζονα προτροπήν. " Ὧν γάρ, φησίν ὁ διδάσκαλος, τούς ἐπαίνους οἶδα, τούτων σαφῶς καί ἐπιδόσεις», τουτέστιν, (≡14E_162≡> ὧν οἶδα πραγμάτων τούς ἐπαίνους, καί τῶν ἀποδεχομένων αὐτά σαφῶς ἀνθρώπων τάς εἰς ἀρετήν ἐπιδόσεις, ἤγουν ἐπαυξήσεις, ἐπίσταμαι. Ἐπ᾽ οὐδενός οὖν τῶν πραγμάτων πάντων δηλονότι τῶν ἐπαινουμένων οὐκ ἔστιν ἐφ᾽ ᾧτινι οὐχί πάντως τῶν ἐπ᾽ αὐτοῖς ἡδομένων εὕροις τήν ἐπαύξησιν· ἤ ἐπειδή τρία προθείς ὁ διδάσκαλος ἀνωτέρω, ἑαυτόν, τούς λόγους, τούς τῆς ἀρετῆς ἐπαινέτας, ἐν τούτοις περιλαβών κατά ῥήτορας ἐξήπλωσε, τάς ἐπαγωγάς τοῖς τρισίν ἐφαρμόσας, καί ἐξ ἑαυτοῦ πρότερον τῆς ἀποδόσεως ἀρξάμενος, εἶτα διά μέσων τῶν ἀρετῆς ἐπαινετῶν διελθών, εἰς τούς λόγους αὐτάς ἐπλήρωσεν, ὡς τῆς κατά τόν ἅγιον Βασίλειον ὑποθέσεως καί αὐτῷ πρεπούσης, ὡς διδασκάλῳ, καί τοῦ λόγου προβεβλημένῳ, καί τοῖς ἀγαπῶσι τήν ἀρετήν, ἤγουν τοῖς αὐτῆς ἐπαινέταις, πεποθημένης, οἷα ποθοῦσι γνῶναι τούς τρόπους τῆς διά μιμήσεως εἰς ἀρετήν ἐπιδόσεως, καί τοῖς λόγοις αὐτοῖς ἁρμοζούσης, ὡς ἐκφαντορικοῖς τῶν κατ᾽ ἀρετήν καλῶν. Παντός μέν οὖν ἀνδρός βίον ἔχοντος κατά Θεόν ἐπαινούμενον, μάλιστα δέ Βασιλείου τοῦ πάνυ, κἄν τε δυνηθῶσι πᾶσαν περιλαβεῖν, καί ὥσπερ εἰκόνα ζῶσαν καί ἔμψυχον ὑποδεῖξαι τοῖς ἐρασταῖς τήν τοῦ ἀνδρός ἀρετήν, κἄν τε μή δυνηθῶσι τοῦ ταύτης ἐφικέσθαι μεγέθους, ἐπ᾽ οὐδενός οὖν οὐκ ἔστι τῶν ἁπάντων, καί λόγου καί λέγοντος καί ἀκούοντος, ἐφ᾽ ᾧτινι τό τῆς ὑποθέσεως καλόν οὐχ ἁρμόσει, ἤ καθώς ἀνωτέρω ἀκριβέστερον μᾶλλον ἐξήτασται.

POS (176). ..». **ΠΑΙΖΕΙ ΓΑΡ ΛΟΓΟΣ ΑΙΠΥΣ ΕΝ ΕΙΔΕΣΙ ΠΑΝΤΟΔΑΠΟΙΣΙ, ΚΡΙΝΑΣ, ΩΣ ΕΘΕΛΟΙ..».**

Τοῦ αὐτοῦ ἐκ τῶν ἐπῶν, εἰς τό· «Παίζει γάρ λόγος αἰπύς ἐν εἴδεσι παντοδαποῖσι, κρίνας, ὡς ἐθέλοι, κόσμον ἐόν ἔνθα καί ἔνθα».

Ἡνίκα τόν νοῦν ὡς διά κλείθρων τινῶν τῶν φαινομένων ὁ (≡14E_**164**=> μέγας Δαβίδ κατά μόνην πίστιν ἐν πνεύματι πρός τά νοητά διελάσας ἐδέξατό τινα παρά τῆς θείας σοφίας τῶν ἐφικτῶν ἀνθρώποις μυστηρίων ἔμφασιν, τότε, καθάπερ οἶμαι, φησίν, Ἄβυσσος, ἄβυσσον ἐπικαλεῖται εἰς φωνήν τῶν καταῤῥακτῶν σου· τούτοις τυχόν ἐνδεικνύμενος, ὅτι πᾶς νοῦς θεωρητικός, διά τε τό κατά φύσιν ἀόρατον καί τό βάθος καί πλῆθος τῶν νοημάτων ἀβύσσῳ παρεοικώς, ἐπειδάν τῶν φαινομένων διαβάς πᾶσαν τήν διακόσμησιν, καί εἰς τήν τῶν νοητῶν σφοδρῷ τῆς κινήσεως ὑπερβάς τήν εὐπρέπειαν, ἐφ᾽ ἑαυτόν (=1409=) στῇ, πεπηγώς παντάπασι καί ἀκίνητος, διά τήν πάντων διάβασιν, τηνικαῦτα τήν θείαν δεόντως ἐπικαλεῖται σοφίαν, τήν ὄντως τε καί ἀληθῶς κατά τήν γνῶσιν ἀδιεξίτητον ἄβυσσον, φωνήν αὐτῷ δοῦναι τῶν θείων καταῤῥακτῶν, ἀλλ᾽ οὐκ αὐτούς τούς καταῤῥάκτας, ὅπερ ἐστίν ἔμφασίν τινα πίστεως γνωστικήν τῶν περί τό πᾶν τῆς θείας προνοίας τρόπων τε καί λόγων αἰτῶν ὑποδέξασθαι, δι᾽ ἧς μνησθῆναι δυνήσεται τοῦ Θεοῦ ἐκ γῆς Ἰορδάνου καί Ἑρμονιείμ, ἐν ᾗ τῆς θείας πρός ἀνθρώπους τοῦ Θεοῦ Λόγου συγκαταβάσεως τό μέγα καί φρικτόν διά σαρκός ἐτελέσθη μυστήριον, ἐν ᾧ τῆς εἰς Θεόν εὐσεβείας ἐδωρήθη τοῖς ἀνθρώποις τό ἀληθές, ὅπερ διά τό πᾶσαν ἐκβεβηκέναι φύσεως τάξιν καί δύναμιν· τῷ μέν θείῳ καί τῆς θείας μύστῃ τε καί μυσταγωγῷ κρυφιογνώστου σοφίας Παύλῳ τῷ μεγάλῳ ἀποστόλῳ μωρία ὠνομάσθη Θεοῦ καί ἀσθένεια, διά τήν ὑπερβάλλουσαν οἶμαι σοφίαν καί δύναμιν· τῷ δέ θεόφρονι μεγάλῳ Γρηγορίῳ παίγνιον προσηγορεύθη, διά τήν ὑπερβάλλουσαν φρόνησιν.

Ὁ μέν γάρ φησι. Τό μωρόν τοῦ Θεοῦ σοφώτερον τῶν ἀνθρώπων ἐστί, καί τό ἀσθενές τοῦ Θεοῦ ἰσχυρότερον τῶν ἀνθρώπων ἐστί· ὁ δέ. Παίζει γάρ λόγος αἰπύς ἐν εἴδεσι παντοδαποῖσι, Κρίνας ὡς ἐθέλοι κόσμον ἐόν ἔνθα καί ἔνθα· ἑκάτερος (≡14E_**166**=> τῇ στερήσει τῶν παρ᾽ ἡμῖν κρατίστων θέσεων τήν θείαν ἐνδεικνύμενος ἕξιν, καί ταῖς ἀποφάσεσι τῶν ἡμετέρων ποιούμενος τήν τῶν θείων κατάφασιν. Μωρία γάρ παρ᾽ ἡμῖν καί ἀσθένεια καί παίγνιον στερήσεις εἰσίν, ἡ μέν σοφίας, ἡ δέ δυνάμεως, ἡ δέ φρονήσεως, ἐπί Θεοῦ δέ λεγόμεναι σοφίας καί δυνάμεως καί φρονήσεως ὑπερβολήν σαφῶς ὑποδηλοῦσιν. Εἴ τι οὖν παρ᾽ ἡμῖν κατά στέρησιν λέγοιτο, ἐπί Θεοῦ λεγόμενον ἕξιν ὑποδηλοῦν πάντως ἐκδέχεσθαι δίκαιον, καί τό ἔμπαλιν, εἴ τι κατά ἕξιν ἐφ᾽ ἡμῶν λέγοιτο, ἐπί Θεοῦ στέρησιν διά τήν ὑπεροχήν ἐκδέχεσθαι δηλοῦν πρεπωδέστατον. Αἱ γάρ τῶν θείων ὑπερβολαί καί κατά στέρησιν δι᾽ ἀντιφάσεως λεγόμεναι παρ᾽ ἡμῶν ἀποδέουσι πολύ τῆς ἀληθοῦς καθ᾽ ὅν εἰσι λόγον ἐμφάσεως. Εἰ δέ τοῦτο κατά τόν εἰκότα λόγον ἐστίν ἀληθές (οὐ γάρ συμβαίνει πώποτε τά θεῖα τοῖς ἀνθρωπίνοις), ἄρα μωρία Θεοῦ καί ἀσθένεια

κατά τόν ἅγιον ἀπόστολον Παῦλον, καί παίγνιον Θεοῦ κατά Γρηγόριον τόν θαυμαστόν καί μέγαν διδάσκαλον, τό μυστήριόν ἐστι τῆς θείας ἐνανθρωπήσεως, ὡς πάσης φύσεως δυνάμεώς τε καί ἐνεργείας πᾶσαν ὑπερουσίως ἐκβεβηκός τάξιν καί ἁρμονίαν, ὅπερ Πνεύματι θείῳ πόῤῥωθεν κατά νοῦν θεασάμενος καί μυηθείς ὁ θειότατος Δαβίδ, καί οἷον τήν τοῦ Ἀποστόλου λεγομένην διά στερήσεως ὑπερβάλλουσαν ἕξιν τοῦ Θεοῦ προερμηνεύων, Ἰουδαίων, σοφῶς οἶμαι, καταβοῶν· Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου. Πᾶς γάρ ἄνθρωπος ἐχθρός πάντως τοῦ Θεοῦ καί ψεύστης προδήλως καθίσταται ὁ τόν Θεόν τῷ νόμῳ τῆς φύσεως ἀμαθῶς τε καί ἀσεβῶς περικλείων, καί ἀπαθῶς ὑπέρ φύσιν ἐν τοῖς ὑπό (≡14E_**168**≡> φύσιν οὐσιωδῶς γενόμενον τά κατά φύσιν ὡς πάντα δυνάμενον ἐνεργῆσαι πιστεύειν μή (=1412=) ἀρχόμενος.

Οὕτω μέν οὖν κατά μίαν ἐπιβολήν τέως θεωρῆσαι τό μωρόν τοῦ Θεοῦ καί τό ἀσθενές καί παίγνιον, στοχαστικῶς ὁ λόγος ἐτόλμησε, μεθ᾽ ὧν παρεκβατικῶς, ὡς προθεωρίαν παραδειγματικήν τοῦ προτεθέντος ἀπόρου, καί τήν ἄβυσσον τήν ἐπικαλουμένην τήν ἄβυσσον εἰς φωνήν τῶν θείων καταῤῥακτῶν λαβών ὁ λόγος νοῦν γνωστικόν εἶναι σοφίαν ἐπικαλούμενον δέξασθαι, μικράν τινα τῶν ἐπί τῇ θείᾳ καί ἀφράστῳ συγκαταβάσει μυστηρίων ἔμφασιν παρεδήλωσεν. Ἄβυσσος γάρ καί ὁ τῆς ἀβύσσου τόπος ὁμωνύμως ὀνομάζεται, τόπος δέ τῆς θείας σοφίας, ὁ καθαρός καθέστηκε νοῦς. Ἆρα θέσει διά τό δεκτικόν ἄβυσσος καί ὁ νοῦς προσαγορεύεται, καί ἡ σοφία πάλιν τό αὐτό διά τήν φύσιν κατανομάζεται.

ΡΟΖ (177). **ΑΛΛΗ ΘΕΩΡΙΑ ΕΙΣ ΤΟ ΑΥΤΟ**

Ἄλλη θεωρία εἰς τό αὐτό.

Καθ᾽ ἕτερον δέ τό προκείμενον ἄπορον διασκοποῦντες τρόπον τῇ βοηθείᾳ τῆς θείας χάριτος στοχαστικῶς, ἀλλ᾽ οὐκ ἀποφαντικῶς (τό μέν γάρ μέτριον, τό δέ προπετές), ἐγχειρεῖν τῷ προκειμένῳ ῥητῷ τολμῶμεν, φάσκοντες τήν τῶν μέσων τυχόν προβολήν, κατά τό ἴσον ἀπό τῶν ἄκρων ἔχουσαν ἀπόστασιν, παίγνιον εἰρῆσθαι Θεοῦ τῷ μεγάλῳ διδασκάλῳ, διά τήν ἐπίῤῥυτον αὐτῶν καί εὐαλλοίωτον στάσιν, μᾶλλον δέ, στάσιμον ῥεῦσιν εἰπεῖν οἰκειότερον. Ὅ καί παράδοξον, στάσιν ἀεί ῥέουσαν καί φερομένην θεᾶσθαι, καί ῥεῦσιν ἀεικίνητον προνοητικῶς τῆς τῶν οἰκονομουμένων ἕνεκεν βελτιώσεως θεόθεν ἐπινενοημένην, τούς δι᾽ αὐτῆς παιδαγωγουμένους σοφίσαι δυναμένην, ἀλλαχοῦ μεταστήσεσθαι πάντως ἐλπίζειν, καί πέρας (≡14E_**170**≡> τοῦ κατ᾽ αὐτήν ἐπ᾽ αὐτοῖς μυστηρίου τῇ πρός Θεόν νεύσει βεβαίως διά τῆς χάριτος θεωθήσεσθαι πιστεύειν. Μέσα δέ λέγω τήν τῶν ὁρωμένων καί νῦν περί τόν ἄνθρωπον ὄντων ἤ ἐν οἷς ὁ ἄνθρωπος συμπλήρωσιν, ἄκρα δέ τήν τῶν μή φαινομένων καί περί τόν ἄνθρωπον ἀψευδῶς ἔσεσθαι μελλόντων ὑπόστασιν, τῶν κυρίως τε καί ἀληθῶς κατά τόν ἄῤῥητον καί προηγούμενον σκοπόν τε καί λόγον τῆς θείας ἀγαθότητος πεποιημένων τε καί γεγενημένων. Καθώς ὁ σοφός Ἐκκλησιαστής μεγάλῳ τε καί τρανῷ ψυχῆς ὄμματι τῶν ὁρωμένων τε καί ῥεόντων ὑπερκύψας τήν γένεσιν, καί οἷον ἐν

φαντασίᾳ τῶν ἀληθῶς πεποιημένων καί γεγενημένων γενόμενος· Τί τό γεγενημένον; αὐτό τό γενησόμενον· καί τί τό πεποιημένον; Αὐτό, φησί, τό ποιηθησόμενον· τῶν πρώτων δηλαδή καί τῶν τελευταίων ἐπιμνησθείς, ὡς τῶν αὐτῶν ὄντων καί ἀληθῶς ὄντων, τῶν δέ μέσων καί παρερχομένων οὐδόλως κατά τόν τόπον μνησθείς.

Μετά γάρ τό ἐξελθεῖν, ὡς οἷόν τε ἦν μεγαλοφυῶς μάλιστα τό διδάσκαλον, περί τινος φύσεως ζώων καί λίθων, καί ἁπλῶς εἰπεῖν ἀορίστως περί πολλῶν τῶν ἐν τοῖς οὖσι θεωρουμένων, ἐπιφέρει τούτοις· " Παίζει γάρ λόγος αἰπύς ἐν (=1413=) εἴδεσι παντοδαποῖσι, κρίνας ὡς ἐθέλει κόσμον ἐόν ἔνθα καί ἔνθα». Μήποτε οὖν καθώς αὐτός ἐν τῷ τῆς ἁγίας Πεντηκοστῆς λόγῳ φησί, περί θεότητος διεξιών καί κτιστῆς φύσεως, " Ἕως ἑκάτερον ἐπί τῆς ἰδίας μένει, τό μέν περιωπῆς, τό δέ ταπεινώσεως, ἄμικτος ἡ ἀγαθότης καί τό φιλάνθρωπον ἀκοινώνητον, καί χάσμα μέγα ἐν μέσῳ καί ἀδιάβατον, οὐ τόν πλούσιον τοῦ Λαζάρου καί τῶν ὀρεκτῶν τοῦ Ἀβραάμ κόλπων διεῖργον, πᾶσαν δέ τήν γενητήν φύσιν καί ῥέουσαν τῆς ἀγενήτου καί ἑστηκυίας;" (≡14E_172≡> Ὦ παρεμφερῆ τε καί ὅμοια καί ὁ θεηγόρος μέγας διεξέρχεται Διονύσιος ὁ Ἀρεοπαγίτης φάσκων· «Τολμητέον δέ καί τοῦτο ὑπέρ ἀληθείας εἰπεῖν, ὅτι καί αὐτός ὁ πάντων αἴτιος τῷ καλῷ καί ἀγαθῷ τῶν πάντων ἔρωτι δι᾽ ὑπερβολήν τῆς ἐρωτικῆς ἀγαθότητος ἔξω ἑαυτοῦ γίνεται, ταῖς εἰς τά ὄντα πάντα προνοίαις, καί οἷον ἀγαθότητι καί ἀγαπήσει καί ἔρωτι θέλγεται, καί ἐκ τοῦ ὑπέρ πάντα καί πάντα καί πάντων ἐξῃρημένου πρός τό ἐν πᾶσι κατάγεται, κατ᾽ ἐκστατικήν ὑπερούσιον δύναμιν ἐνεκφοίτητον ἑαυτοῦ».

Μήπως οὖν, καθώς ἔφην, κἀκ τούτων τόν περί τοῦ, " Παίζει γάρ Λόγος αἰπύς, " ἐπιτόμως ἀποδοθέντα τρόπον ἐξαπλῶσαι κατά διάνοιαν τοιαύτην ἡμῖν ἐστι δυνατόν φάσκουσιν, Ὥσπερ οἱ γονεῖς (ἵνα τοῖς καθ᾽ ἡμᾶς παραδείγμασι χρήσωμαι εἰς τήν τῶν ὑπέρ ἡμᾶς πραγμάτων ὑπογραφήν), ἀφορμάς τοῖς τέκνοις παρέχοντες τήν νωθεῖαν ἀποσείσασθαι συγκαταβάσεως τρόπῳ, δοκοῦσι κατά συμπεριφοράν παιδικά παίγνια μετιέναι, ὡς φέρε εἰπεῖν καρυατίζειν, καί ἀστραγάλοις μετ᾽ αὐτῶν συμπεριφέρεσθαι, ἤ καί ἄνθη πολύχροα τούτοις παρατιθέντες, καί πολυβαφεῖς ἐσθῆτας τῶν αἰσθήσεων θελκτηρίους, ἀπῆγον ἤ κατέπληττον, ὡς τῶν παίδων ἑτέραν τέως ἐργασίαν οὐκ ἐχόντων, μετά βραχύ δέ καί παιδευτηρίοις αὐτούς τῶν γονέων παραδιδόντων, εἶτα καί λόγου τελεωτέρου καί πραγμάτων ἰδίων μεταδιδόντων, οὕτω τυχόν καί τόν ἐπί πάντων Θεόν φησι διά τῶν εἰρημένων ὁ διδάσκαλος διά τῆς τέως ἱστοριώδους τῶν φαινομένων κτισμάτων φύσεως εἰς ἔκπληξιν ἤ καί ἀπαγωγήν διά τῆς αὐτῶν θέας καί γνώσεως νῦν ἡμᾶς οἷα κομιδῇ παῖδας ἐμβάλλοντα, ἔπειτα καί τήν τῶν ἐν αὐτοῖς πνευματικωτέρων λόγων θεωρίαν ἐνιέντα, καί τελευταῖον ἐπί τήν ἑαυτοῦ καθώς ἐστιν ἐφικτόν διά θεολογίας μυστικωτέραν γνῶσιν ἐνάγοντα, τήν πάσης τῆς ἐν εἴδει καί ποιῷ καί σχήματι καί ποσῷ, τῷ ἐν (≡14E_174≡> πλήθει τε καί ὄγκῳ παντάπασι καθαρεύουσαν, ποικιλίας τε καί συνθέσεως ἐν τοῖς προπαιδεύμασιν, ὡς πρός τό

τέρμα τῆς θεωρίας, " παίζειν" εἴρηται τῷ θεοφόρῳ Γρηγορίῳ, καί τῷ θεοφόρῳ Διονυσίῳ " θέλγεσθαί" τε καί "ἐξίστασθαι ἑαυτοῦ».

Τῷ ὄντι γάρ ἐκ παραλλήλου κατά παράθεσιν θεωρούμενα πρός τά κυρίως καί ἀληθῶς ὄντα, (=1416=) καί ἐς ὕστερον φανησόμενα, τά παρόντα καί φαινόμενα καί παίγνιον εἶναι δοκεῖ, καί ἔτι τούτου πορρωτέρω. Πρός γάρ τήν τῶν κυρίως θείων καί πρωτοτύπων πραγμάτων ἀλήθειαν συγκρινομένη τῶν παρόντων καί ὁρωμένων πραγμάτων ἡ διακόσμησις οὐδέ τό παράπαν εἶναι νομισθήσεται τοῖς ὅλον χωρεῖν κατά τό δυνατόν τό τῆς θείας ὡραιότητος κάλλος ἀξιουμένοις, ὥσπερ οὐδέ τό παίγνιον ἀληθινῷ τινι καί ὄντι πράγματι συγκρινόμενον εἶναι καθάπαξ νομίζεται.

ΡΟΗ (178). **ΑΛΛΗ ΘΕΩΡΙΑ ΕΙΣ ΤΟ ΑΥΤΟ**

Ἄλλη θεωρία εἰς τό αὐτό.

Τυχόν δέ καί τό μεταπτωτικόν ὧν ἐγχειρίζομεν ὑλικῶν πραγμάτων ἄλλην ἄλλως μεταφερόντων τε καί μεταφερομένων, καί μηδεμίαν βάσιν ἐχόντων στερέμνιον, πλήν τοῦ πρώτου λόγου καθ᾽ ὅν φέρονται σοφῶς τε καί προνοητικῶς καί φέρουσι, καί τῷ κρατεῖσθαι ὑφ᾽ ἡμῶν νομίζεσθαι, διαφευγόντων πλέον ἤ κρατουμένων, καί τήν ἔφεσιν ἡμῶν τῶν αὐτοῖς ἀνεχομένων κρατεῖσθαι, μᾶλλον ἑαυτῶν οἷον ἀπωθουμένων, καί κρατεῖν ἤ κρατεῖσθαι παντελῶς μή δυναμένων, οἷα δή μόνον σταθερόν τῆς ἑαυτῶν φύσεως ὅρον κεκτημένων τό ἀπορρεῖν καί μή ἵστασθαι, παίγνιον εἰκότως ἐρρέθη Θεοῦ τῷ διδασκάλῳ, ὡς διά τούτων μετάγοντος ἡμᾶς ἐπί τά ὄντως ὄντα, καί μηδέποτε σαλευόμενα.

ΡΟΘ (179). **ΑΛΛΗ ΘΕΩΡΙΑ ΕΙΣ ΤΟ ΑΥΤΟ**

(≡14E_**176≡>**

Ἄλλη θεωρία εἰς τό αὐτό.

Εἰ δέ καί ἡμεῖς αὐτοί, κατά τήν κρατοῦσαν ἐπί τοῦ παρόντος τῆς φύσεως ἡμῶν ἀκολουθίαν, νῦν μέν καθ᾽ ὁμοιότητα τῶν λοιπῶν ἐπί γῆς ζώων γεννώμενοι, ἔπειτα παῖδες γινόμενοι, εἶτα ἄνθους ὠκυμόρου δίκην τῆς νεότητος ἐπί τό ῥίκνον τῆς παλαιότητος φθασάσης τεθνηξόμενοι, καί πρός ἕτερον βίον μετατιθέμενοι, "παίγνιον ἐρήθημεν τοῦ Θεοῦ" τῷ θεοφόρῳ τούτῳ διδασκάλῳ, οὐκ ἔξω τοῦ εἰκότος. Πρός γάρ τήν μέλλουσαν τῆς θείας καί ἀληθοῦς ζωῆς ἀρχετυπίαν ἡ παροῦσα συγκρινομένη ζωή παίγνιόν ἐστι, καί πᾶν εἴ τι ἄλλο τούτου καθέστηκεν ἀνουσιώτερον. Ὅπερ ἐν τῷ εἰς Καισάριον ἐπιταφίῳ δείκνυσι σαφέστερον, οὑτωσί λέγων· "Τοιοῦτος ὁ βίος ἡμῶν, ἀδελφοί, τῶν ζώντων πρόσκαιρα· τοιοῦτο τό ἐπί γῆς παίγνιον· οὐκ ὄντας γενέσθαι, γενομένους ἀναλυθῆναι· ὄναρ ἐσμέν οὐχ ἱστάμενον, φάσμα τι μή κρατούμενον, πτῆσις ὀρνέου παρερχομένου, ναῦς ἐπί θαλάσσης ἴχνος οὐκ ἔχουσα, κόνις, ἀτμίς, ἐωθινή δρόσος, ἄνθος καιρῷ φυόμενον καί καιρῷ λυόμενον, ἄνθρωπος ὡσεί χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεί ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει, καλῶς ὁ θεῖος Δαβίδ περί τῆς ἀσθενείας ἡμῶν ἐφιλοσόφησε».

ΕΠΙΛΟΓΟΣ

(=1417=) Ταῦτα περί ὧν τοῖς θειοτάτοις τοῦ μεγάλου Πατρός ἡμῶν καί διδασκάλου Γρηγορίου λόγοις ἠπορήσατε καί εἰπεῖν ἐκελεύσατέ μοι, μακαριώτατοι, κατά τήν ἐμήν δύναμιν. Τῷ ὑμετέρῳ νεύματι δικαίως ὑπείκων ἔφην ἐγώ στοχαζόμενος, ἀλλ᾽ οὐκ ἀποφαινόμενος. Οὐ γάρ ἐφικνεῖται τῆς μεγάλης καί ὑψηλῆς τοῦ θεοφόρου διδασκάλου διανοίας ὁ ἡμέτερος νοῦς, πολλαῖς ἔτι (≡14E_178≡> κατά θέλησιν ἀκίσι παθῶν βαλλόμενος, ὧν τοῖς μώλωψι μᾶλλον χαίρει στιζόμενος ἤ χάρισιν ἀρετῶν καθαιρόμενος, διά τήν μακράν τοῦ κακοῦ συνήθειαν ἕξιν λαβών φιλαμαρτήμονα. Καί εἰ μέν φανῶσιν ὑμῖν τινα λόγον ἔχειν τῆς ὑποθέσεως ἄξιον, καί μή πάντη τῆς ἀληθείας ἀπολειπόμενον, τῷ Θεῷ χάρις, τῷ τήν χαμαίζηλον (ἵνα καί τοῦτο θαυματουργήσῃ) καί χαμαιπετῆ διάνοιαν φωτίσαντι, καί λόγον σύμμετρον χαρισαμένῳ, πρός τό χαράξαι τήν συμμετρίαν τῶν νοηθένων καί ὑμῖν τοῖς ὑποτάξασι καί τῇ τῶν εὐχῶν βοηθείᾳ τό πᾶν κατορθώσασιν. " Εἰ δέ οὐκ ὀρθῶς ἤ ἀτελῶς καί τῆς ἀληθείας ἤ ὁλικῶς ἤ μερικῶς ἀποπεπλάνημαι " (τόν γάρ μέγαν καί θεοφάντορα κἀν τούτῳ σοι προσφέρω Διονύσιον παρακλήτορα) , " τῆς σῆς ἄν εἴη φιλανθρωπίας ἐπανορθώσασθαι τόν ἀκουσίως ἀγνοοῦντα, καί μαθεῖν δεομένῳ, καί ἐπαμῦναι τῷ μή αὐτάρκη δύναμιν ἔχοντι, καί ἰάσασθαι τόν οὐκ ἐθέλοντα ἀῤῥωστεῖν, ἵνα καί τοῦτο μετά τῶν ἄλλων σου καλῶν, μᾶλλον δέ πρό τῶν ἄλλων, ἀνάθημα τίμιον καί πάσης θυσίας αἰδεσιμώτερον ἱερουργήσῃς τῷ Θεῷ τήν φιλανθρωπίαν, τῷ ἐν οὐρανῷ καί ἐπί γῆς παρά πάσης δοξαζομένῳ τῆς κτίσεως, καί μόνην ἀπαιτοῦντι παρ᾽ ἡμῶν θυσίαν τήν εἰς ἀλλήλους φιλανθρωπίαν.

ΣΧΟΛΙΑ ΕΙΣ ΤΑ ΤΟΥ ΑΓΙΟΥ ΔΙΟΝΥΣΙΟΥ *

ΠΡΟΛΟΓΟΣ

(≡14E_182≡> Τήν μέν εὐγένειαν, τό τε περιφανές ἐν πλούτῳ μεγάλου Διονυσίου καί μόνον αὐτό τό κατά Ἀθηναίους βουλευτήριον, καθ' ὅ βουλεύειν ᾑρέθη, παρίστησι. Τῶν γάρ Ἀρεοπαγιτῶν εἷς ἐτύγχανεν οὗτος, ὡς ὁ θεῖος ἐδήλωσε Λουκᾶς, ἱστορῶν τάς τῶν ἱερῶν ἀποστόλων ἱεράς πράξεις· εἰπών γάρ τόν ἁγιωτάτων ἀπόστολον Παῦλον γενόμενον ἐν Ἀθήναις, συμβαλόντα τέ τισιν εἰς λόγους τῶν ἐξ Ἐπικούρου φιλοσόφων, καί τῶν γε μήν ἀπό τῆς στοᾶς, καί κηρύξαντα τήν εἰς τόν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν πίστιν, τήν τε τῶν νεκρῶν ἀνάστασιν καί τήν καθολικήν κρίσιν, συλληφθῆναι παρά τῶν ἀφιλοσόφων (οὐ γάρ ἀληθῶς φιλοσόφων) ἀχθῆναί τε κατά τόν Ἄρειον πάγον, καί δημηγορήσαντα, παραχρῆμά τινας ἑλεῖν καί πρός τό τῆς ἀληθείας μεταθεῖναι φῶς ἐπάγει. Καί οὕτως ὁ Παῦλος ἐξῆλθεν ἐκ μέσου αὐτῶν· τινές δέ ἄνδρες, κολληθέντες αὐτῷ, ἐπίστευσαν, ἐν οἷς καί

* Τό κείμενο προέρχεται ἀπό τῆς ἐκδόσεις "ΤΟ ΒΥΖΑΝΤΙΟΝ" τῆς σειρᾶς "ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ" Θεσσαλονίκη 1992, ΦΙΛΟΚΑΛΙΑ ΤΩΝ ΝΗΠΤΙΚΩΝ ΚΑΙ ΑΣΚΗΤΙΚΩΝ, **τόμος 14 ΣΤ**. Πέρασε ἀπό σκάνερ, ἀκολούθησε ὀπτική ἀναγνώριση χαρακτήρων καί ἔλεγχος.

Διονύσιος ὁ Ἀρεοπαγίτης καί γυνή ὀνόματι Δάμαρις, καί ἕτεροι σύν αὐτοῖς.

Ἐγώ μέν οὖν οὐ μάτην ἀκούω τῶν παρά πάντας τούς πεπιστευκότας τότε διά τοῦ θείου Παύλου, μόνον τόν ἄριστον Διονύσιον ἐξονομασθῆναι παρά τοῦ θεοφόρου συγγραφέως, προστεθείσης (≡14E_184≡> αὐτοῦ καί τῆς ἀξίας· φησί γάρ Ἀρεοπαγίτης, ἐπιβάλλω δέ μᾶλλον, ὅτι διά τε τό κατα σοφίαν περιττόν καί διά τό ἐν Ἀθηναίοις ἀνεπιλήπτου πολιτείας ἔκκριτον, μνημονευθῆναι μετά τῆς οἰκίας αὐτοῦ. Χρή δέ εἰδέναι, καθά προέφην, ὡς οὐ παντός ἀνδρός ἦν εἰς τήν ἐξ Ἀρείου πάγου βουλήν τελεῖν, ἀλλ’ οἱ παρ' Ἀθηναίοις πρωτεύοντες ἔν τε γένει καί πλούτῳ καί βίῳ χρηστῷ· καί κατά τοῦθ' οἱ ἐπίσημοι καθεστῶτες ἐβούλευον εἰς τήν ἐξ Ἀρείου πάγου βουλήν· ἐκ γάρ των ἐννέα καθίσταμένων ἀρχόντων Ἀθήνησιν, τούς Ἀρεοπαγίτας ἔδει συνεστάναι δικαστάς, ὥς φησιν Ἀνδροτίων ἐν δευτέρᾳ τῶν Ἀτθίδων, ὕστερον δέ πλειόνων γέγονεν ἡ ἐξ Ἀρείου πάγου βουλή, τουτέστιν ἡ ἐξ ἀνδρῶν περιφανεστέρων πεντήκοντα καί ἑνός, πλήν ἐξ εὐπατριδῶν, ὡς ἱστορεῖ Φιλόχορος διά τῆς τρίτης τῶν αὐτῶν Ἀτθίδων. Ἔξω δέ τῆς πόλεως ἦν τό κατά Ἄρειον πάγον δικαστήριον, κληθέν οὕτω (καθ' ἅ μυθολογοῦσιν Ἀθηναῖοι) ἐκ τοῦ κατ' αὐτήν τήν ἐξοχήν τοῦ κατά τήν πόλιν ὄρους συστάντος δικαστηρίου μεταξύ Ποσειδῶνος καί Ἄρεως· ὁ γάρ Ποσειδῶν δίκην εἶπε πρός Ἄρεα κατά τούς ἀρχαίους μύθους παρ' Αθηναίοις ἐν τῷ τόπῳ τούτῳ, φάσκων ἀναιρεθῆναι τόν ἴδιον υἱόν Ἀλιρρόθιον ὑπ' Ἄρεως, κἀκεῖθεν ἐξ Ἄρεως ὁ πάγος ἐκεῖνος Ἄρειος ἐκλήθη. Ἐδίκαζον οὖν Ἀρεοπαγῖται περί πάντων σχεδόν τῶν σφαλμάτων καί παρανομιῶν, ὡς ἅπαντά φησιν Ἀνδροτίων ἐν πρώτῃ, καὶ Φιλόχορος ἐν δευτέρᾳ καί τρίτῃ τῶν Ἀτθίδων.

Διά δέ τοῦτο ἅτε καινῶν δαιμονίων καταγγελέα τόν θειότατον Παῦλον, ὡς ἱστόρησεν ὁ φιλαλήθης Λουκᾶς, οἱ τῆς ὑπό Θεοῦ μωρανθείσης σοφίας ἐρασταί πρός τήν ἐξ Ἀρείου πάγου βουλήν ἕλκουσιν. Ἀλλ' ἐν τοῖς Ἀρεοπαγίταις τηνικαῦτα χρόνου (≡14E_186≡> βουλεύων, ἅτε δικαστής ἀκλινέστατος, ὁ πάμμεγας Διονύσιος, ἀδέκαστον ἀπένειμε τῇ κατά τόν πνευματοφόρον Παῦλον ἀληθείᾳ τήν ψῆφον, ἐρρῶσθαι τε πολλά φράσας τῇ τῶν Ἀρεοπαγιτῶν ἀνοήτῳ σεμνότητι, τόν ἀληθῆ καί πανεπίσκοπον κριτήν ἐννοίας Χριστόν Ἰησοῦν, τόν τοῦ Θεοῦ καί Πατρός Υἱόν μονογενῆ καί Λόγον, ὅν ὁ Παῦλος ἐκήρυξεν, εὐθύς εἴχετο τοῦ φωτός· κἄν γάρ οἱ Ρωμαῖοι τότε ἐκράτουν, ἀλλ’ οὖν αὐτονόμους ἀφῆκαν Ἀθήνας καί Λακεδαιμονίαν· ὅθεν ἔτι παρά Ἀθηναίοις καί τά κατά τούς Ἀρεοπαγίτας ἐπολιτεύετο. Καί τελεῖται μέν ἅπαντα τῆς σωτηριας τά δόγματα διά Παύλου τοῦ κρατίστου, παιδαγωγεῖται δέ διδασκαλικῶς ὁ Διονύσιος ὑπό Ἱεροθέῳ τῷ μεγίστῳ, καθά φησιν ὁ αὐτός· εἶτα καθίσταται κατά τό φερόμενον ἐν ἑβδόμῳ βιβλίῳ τῶν Ἀποστολικῶν διαταγμάτων ὁ Διονύσιος ἐπίσκοπος ὑπό Παύλου τοῦ χριστοφόρου τῶν ἐν Ἀθήνησι πιστευσάντων.

Μνημονεύει δέ τοῦ Ἀρειοπαγίτου καί Διονύσιος ἀρχαῖος Κορινθίων ἐπίσκοπος, καί Πολύκαρπος ἐν τῇ πρός Ἀθηναίους

ἐπιστολῇ αὐτοῦ. Ἔστι δέ τήν ὀρθότητα καί πολυμάθειαν ἀποθαυμάσαι τοῦ ἁγίου τούτου Διονυσίου, τόν ἀληθῶς διά πολλῆς ἡγμένον ἐπιστήμης τῶν ἀνεπιλήπτων τῆς Ἐκκλησίας παραδόσεων, θεάσασθαί τε τά παρά τοῖς τῶν Ἑλλήνων φιλοσόφοις νόθα δόγματα πρός τήν ἀλήθειαν μετενηνεγμένα. Ἐλεῆσαι γάρ ἔστι μᾶλλον καί συναλγῆσαι τῆς ἀπροσεξίας τούς ὀλιγώρους τῆς εὐπαιδευσίας ἐξεταστάς, ὅτι τῇ σφῶν ἀμαθίᾳ συμμετροῦσι καί τάς τῶν ἑξῆς ἀνθρώπων φολομαθεῖς εὐθημοσύνας. Ἐντυγχάνοντες οἱ τοιοῦτοι συγγράμμασιν ἐνίων, καί τυχόν οὐ παρακολουθοῦντες τῇ τῶν λεγομένων διανοίᾳ, πρός ἀδιάκριτον εὐθύς ἐκφέρονται τοῦ συγγραφέως διαβολήν, καίτοι παντελῶς οὐ δυνάμενοι τά σκώμματα διευθύνειν τε καί διελέγχειν ἅ φασιν αὐτοί, δέον ἐπί σφάς αὐτούς τρέπειν τήν ὀργήν, καί μᾶλλον ἀσχάλλειν, ὅτι μή σπουδάσαντες ἔγνωσαν καί αὐτοί τά περί (≡14E_188≡> γνῶσιν ἀνηγμένα· ἤ τἀληθές, ὅτι μή πρός τούς ἱκανούς περί τά τοιαῦτα φιλομαθῶς γεγονότες, τῶν ἀπορημάτων ἀπελύθησαν. Ἀλλά τολμῶσί τινες λοιδορεῖν εἰς αἱρέσεις τόν θεῖον Διονύσιον, καθάπαξ καί τά τῶν αἱρετικῶν ἀγνοοῦντες· ἦ γάρ ἄν, ἐξ ἑκάστου τῶν κατακεκριμένων ἐν τοῖς αἱρετίζουσι συγκρίνοντες, τά παρά τούτων δόγματα πολλῷ· τῶν φλαύρων ἀφεστηκότα διεγίνωσκον, καθόσον φῶς ἀληθές καί σκότος. Τί γάρ εἴποιεν ἐν τοῖς περί τῆς μόνης προσυνητῆς Τριάδος θεολογουμένοις παρ' αὐτῶ; Τί δ' ἄν περί τοῦ τῆς παμμακαρίας ταύτης Τριάδος ἑνός Ἰησοῦ Χριστοῦ, τοῦ μονογενοῦς Θεοῦ Λόγου τελείως ἐνανθρωπῆσαι θελήσαντος,· Οὐχί ψυχήν ἔννουν καί σῶμα τό καθ' ἡμᾶς γήϊνον διεξῆλθε καί τά λοιπά τά ὅσα, τοῖς ὀρθοῖς ἐντέτακται διδασκάλοις; Τί δέ περί νοητῶν καί νοερῶν καί τῶν αἰσθητῶν μέμψαιτ' ἄν τις εἰκότως, ἤ περί τῆς καθολικῆς ἡμῶν ἀναστάσεως τῆς μετά σώματος τοῦ καθ' ἡμᾶς καί τῆς ἡμῶν ψυχῆς γενησομένης, καί περί τῶν τότε δικαιωτηρίων, δικαίων τε καί τῶν μή τοιούτων; Εἰς τά γάρ, συλλήβδην εἰπεῖν, ἡ καθ' ἡμᾶς ἀφορᾷ σωτηρία, ἅτινα πλατέως διεξελθεῖν οὐ δίκαιον, τῆς ἐπί σχολίων ἐξηγήσεως ἅπαντα κατά καιρόν ἐπισημαινομένης.

Ναί, φασίν, ἀλλ’ οὐκ ἔγραψεν αὐτοῦ τάς συντάξεις Εὐσέβιος ὁ Παμφίλου, καί μήν οὐδ Ὠριγένης.

Πρός οὕς λεκτέον, ὡς πάμπολλα παρῆκεν Εὐσέβιος οὐκ ἐλθόντα περί χεῖρας οἰκείας· καί γάρ οὔτε φησίν ἅπαντα καθάπαξ συναγηοχέναι, μᾶλλόν γε μήν ὁμολογεῖ καί ἀριθμοῦ κρείττονα βιβλία καθεστάναι μηδαμῶς εἰς αὐτόν ἐληλυθότα· καί πολλῶν ἐδυνάμην μνημονεῦσαι μή κτηθέντων αὐτῷ, καί ταῦτα τῆς αὐτοῦ χώρας, ὡς Ὑμεναίου καί Ναρκίσσου τῶν ἱερασαμένων ἐν Ἱεροσολύμοις. Ἐγώ γοῦν ἐνέτυχόν τισι τῶν Ὑμεναίου. Καί μήν οὔτε Πανταίνου τούς πόνους ἀνέγραψεν, οὔτε τοῦ Ρωμαίου Κλήμεντος, πλήν δύο καί μόνων ἐπιστολῶν, ἀλλ’ (≡14E_190≡> οὔτε πλείστων ἑτέρων. Ὁ γάρ Ὠριγένης, οὐκ οἶδα εἰ πάντων, μόλις δέ τεττάρων ἐμνήσθη. Διάκονος δέ τις Ρωμαῖος, Πέτρος ὄνομα, διηγήσατό μοι, πάντα τά τοῦ θείου Διονυσίου σώζεσθαι κατά τήν ἐν Ρώμῃ τῶν ἱερῶν βιβλιοθήκην ἀνατεθειμένα.

Γράφει δέ τά πλεῖστα πρός τόν τρισμακάριον Τιμόθεον, τόν τοῦ ἁγίου ἀποστόλου Παύλου φοιτητήν, Ἐφεσίων ἐπίσκοπον, ὑπό

τῶν κατά τήν Ἔφεσον τῆς Ἰωνικῆς φιλοσοφίας προεστώτων, ὡς εἰκός, πάσχοντα πράγματα, καί πυνθανόμενον, ὡς εἰδήμονος τῆς ἐξωτερικῆς φιλοσοφίας, ἵνα καί μᾶλλον ἀγωνίζοιτο· καί οὐδέν ἀπεικός· ἐπεί καί ὁ θεοφιλής ἀπόστολος Παῦλος ταῖς Ἑλλήνων ἐχρήσατο ρήσεσι, ταύτας ἀκούων τυχόν παρά τῶν συνόντων αὐτῷ, τῆς ἑλληνικῆς φιλοσοφίας ἐμπείρων. Συνίστησι δέ καί τοῦτο, Διονυσίου ταῦτα φιλαλήθως τά συγγράμματα καθεστάναι· τό γάρ ἀνεπιτηδεύτως μνημονεύειν αὐτόν ρήσεων τῶν συνακμασάντων αὐτῷ ἀνδρῶν, ὧν αἵ τε θεῖαι τῶν ἀποστόλων μνημονεύουσι ἐπιστολαί, τό τῶν συγγραμμάτων ἀσκευώρητον ἀποφαίνουσι· μάλιστα δέ πάντων τό τῶν δογμάτων ἀσφαλέστατον.

Ἐπειδή δέ τινές φασι, μή εἶναι τοῦ ἁγίου τό σύγγραμμα, ἀλλά τινος τῶν μεταγενεστέρων, ἀνάγκη αὐτούς καί τῶν ἀπηγορευμένων τινά καί ἀτόπων αὐτόν τιθέναι, καταψευδόμενον τοιαῦτα ἑαυτοῦ, ὡς συνῆν τοῖς ἀποστόλοις, καί ἐπέστελλεν οἷς οὐδέ συνεγένετό ποτε κατ' αὐτούς, οὐδέ ἐπέστειλε.

Τό δέ καί πλάσασθαι προφητείαν πρός τόν ἀπόστολον Ἰωάννην ἐν ἐξορίᾳ ὄντα ὡς ἐπανήξει πάλιν εἰς τήν Ἀσιάτιδα γῆν καί τά συνήθη διδάξει, τοῦτο τερατολόγου ἀνδρός καί προφήτου δόξαν ἐκμανῶς θηρωμένου.

Τό δέ καί λέγειν αὐτόν ἐν αὐτῷ τῷ καιρῷ τοῦ σωτηρίου πάθους ἐν Ἡλιουπόλει συνόντα Ἀπολλοφάνει, θεωρεῖν καί συμφιλοσοφεῖν περί τῆς ἡλιακῆς ἐκλείψεως, ὡς οὐ κατά φύσιν (≡14E_192≡> οὐδέ κατά τό ἔθος τότε γεγενημένης, λέγειν δέ αὐτόν καί παρεῖναι σύν τοῖς ἀποστόλοις τῇ προκομιδῇ τοῦ λειψάνου τοῦ θείου τῆς ἁγίας θεοτόκου Μαρίας, καί χρήσεις προφέρειν Ἱεροθέου τοῦ ἰδίου διδασκάλου ἐκ τῶν εἰς αὐτήν ἐπιταφίων λόγων, πλάττεσθαι δέ καί ἐπιστολάς καί λόγους ὡς πρός τούς μαθητάς τῶν ἀποστόλων ἐκφωνηθέντας, πόσης ἀτοπίας καί καταγνώσεως καί τῷ τυχόντι ἀνθρώπῳ, μήτι γε δή ἀνδρί τοσοῦτον ἀνηγμένῳ κατά τε ἦθος καί γνῶσιν, καί τό ὑπεραίρειν τά αἰσθητά πάντα, καί τοῖς νοερεῖς συνάπτεσθαι κάλλεσι, καί δι' αὐτῶν ὡς ἐφικτόν Θεῷ!

Ἐξηγητικῶν μέν οὖν ὑπομνημάτων ὡς ὅτι μάλιστα διεξοδικωτάτων ἐδεῖτο πρός ἑρμηνείαν τῆς αὐτοῦ πολυμαθείας· πλήν κεφαλαιωδέστερον, ὡς ἡ βίβλος ἐχώρησε, διά σχολίων, τά φανέντα μοι, Θεῷ πεποιθώς, παρατέθεικα κατά τούς ἑξῆς παρακειμένους λόγους, οὕς τέως εἰς τάς ἐμάς ἐλθεῖν συμβέβηκε χεῖρας.

Ἰστέον ὥς τινες τῶν ἔξω φιλοσόφων, καί μάλιστα Πρόκλος, θεωρήμασι πολλάκις τοῦ μακαρίου Διονυσίου κέχρηται, καί αὐταῖς δέ ξηραῖς ταῖς λέξεσι· καί ἔστιν ὑπόνοιαν ἐκ τούτου λαβεῖν ὡς οἱ ἐν Ἀθήναις παλαιότεροι τῶν φιλοσόφων, σφετερισάμενοι τάς αὐτοῦ πραγματείας, ὡς ἐν τῇ παρούσῃ ἀπομνημονεύει βίβλῳ, ἀπέκρυψαν, ἵνα πατέρες αὐτοί ὀφθῶσι τῶν θείων αὐτοῦ λογίων, καί κατ' οἰκονομίαν Θεοῦ νῦν ἀνεφάνη ἡ παροῦσα πραγματεία πρός ἔλεγχον τῆς αὐτῶν κενοδοξίας καί ῥαδιουργίας. Καί ὅτι σύνηθες αὐτοῖς τά ἡμέτερα σφετερίζεσθαι, διδάσκει ὁ θεῖος Βασίλειος εἰς τό, «Ἐν ἀρχῇ ἦν ὁ Λόγος», ἐπ' αὐτῆς τῆς λέξεως οὑτωσί λέγων· 'Ταῦτα οἶδα πολλούς τῶν ἔξω τοῦ Λόγου τῆς

ἀληθείας μεγάλα φρονούντων ἐπί σοφίᾳ κοσμικῇ, καί θαυμάσαντας καί τοῖς ἑαυτῶν συντάγμασιν ἐγκαταλέξαι τολμήσαντας· κλέπτης γάρ ὁ διάβολος καί τά ἡμέτερα ἐκφερομυθῶν (≡14E_194≡> πρός τούς ἑαυτοῦ ὑποφήτας’. Καί οὗτος μέν οὕτω, τά δέ Νουμενίου τοῦ Πυθαγορικοῦ προφανῶς λέγοντος, 'Τί γάρ ἐστι Πλάτων, ἤ Μωσῆς ἀττικίζων;' οὐδείς ἀρνήσασθαι δύναται, οὐχ ἡμετέρου, ἀλλά τῶν ἐναντίων ὄντος, ὡς μαρτυρεῖ καί Εὐσέβιος ὁ τῶν Παλαιστίνων Καισαρείας καθηγησάμενος, ὅτι 'Οὐ νῦν μόνον, ἀλλά καί πρό τῆς Χριστοῦ παρουσίας σύνηθες τοῖς ἔξω σοφίας τά ἡμέτερα κλέπτειν'.

ΕΙΣ ΤΟ ΠΕΡΙ ΤΗΣ ΟΥΡΑΝΙΑΣ ΙΕΡΑΡΧΙΑΣ

ΕΞΗΓΗΣΗΣ ΤΗΣ ΕΠΙΓΡΑΦΗΣ

(≡14E_198≡> Ἱεραρχίας: Ἐπειδή ἡ ἐπιγραφή ἱεραρχίαν ἔχει, καλεῖν εἴωθεν ἱεράρχας τούς ἐπισκόπους. Ἰστέον οὖν, ὅτι ἱεραρχία μέν ἐστιν ἡ τῆς διατάξεως αὐτῆς τῶν ἱερῶν ἀρχή καί οἱονεί φροντίς, καί ἱεράρχης ὁ τῶν ἱερῶν ἄρχων καί φροντίζων καί προνοῶν, οὐ μήν τῶν ἱερέων, ἀλλά ὁ τά ἱερά καί τήν κατάστασιν αὐτῶν τε καί τῆς ἐκκλησίας καί τῶν μυστηρίων διατάσσων, οὐ μήν ὁ ἀρχιερεύς. Ταύτην δέ τήν ἐξήγησιν καί αὐτός ὁ μέγας Διονύσιος κάτω παρατίθεται ἐν τῷ Περί τῆς ἐκκλησιαστικῆς ἱεραρχίας λόγῳ.

Ὁ πρεσβύτερος: Σημείωσαι, ὡς τό τοῦ πρεσβυτέρου ὄνομα καί τόν ἐπίσκοπον δηλοῖ, ἐπειδή πρεσβύτερός ἐστι καί ὁ ἐπίσκοπος· καί τοῦτο, δηλοῦται καί ἐν ταῖς Πράξεσι τῶν ἁγίων ἀποστόλων, ἔνθα ἐν Ἀσίᾳ συντάσσεται ταῖς Ἐκκλησίαις αὐτῆς ὁ ἅγιος ἀπόστολος Παῦλος.

ΕΙΣ ΤΟ ΚΕΦΑΛΑΙΟΝ Α'

§ 1. Πᾶσα δόσις ἀγαθή: Σημείωσαι ὅτι κέχρηται ὁ μακάριος (≡14E_200≡> Διονύσιος τῇ τοῦ ἁγίου Ἰακώβου καθολικῇ ἐπιστολῇ· ἐκεῖθεν γάρ ἐστι τό ρητόν· καί ὅτι ἐκδοθεῖσα ἦν ἤδη.

Καί γάρ ἐξ αὐτοῦ: Ταῦτα περί τοῦ Υἱοῦ θεολογεῖ.

§ 2. Πατροπαραδότου: Πατέρας ἐνταῦθα δηλοῖ τούς παραδόντας αὐτῷ τό δόγμα, οὐ μήν τούς φυσικούς· ἐξ Ἑλλήνων γάρ ἦν, ὡς δηλοῦσιν αἱ Πράξεις τῶν ἁγίων ἀποστόλων, καί αὐτός μέντοι ἐν τῇ πρός τόν ἅγιον Πολύκαρπον ἐπιστολῇ καί ἐν τῷ θ' κεφαλαίῳ τῷ Περί τῆς οὐρανίου ἱεραρχίας.

Συμβολικῶς: Οὐ γάρ φυσιολογικῶς φησιν, ἀλλά διά συμβόλων τινῶν καί εἰκόνων.

α'. Νοῶν: Νόας καλοῦσι καί οἱ παρ' Ἕλλησι φιλόσσοφοι τάς νοεράς, ἤτοι ἀγγελικάς δυνάμεις· ἐπειδή τό πᾶν νοῦς ἐστιν ἕκαστος αὐτῶν, καί τήν οὐσίαν ἅπασαν νοῦν ζῶντα εἰς τό εἶδος τό ἑαυτῶν οὐσιωμένον ἔχει· νόες καλοῦνται πρός τό εὐφωνότερον τῆς κλίσεως γενομένης· ἐπειδή ἐχρῆν ἀπό τοῦ ὁ νοῦς, τοῦ νοῦ, τό πληθυντικόν οἱ νοῖ εἶναι, ἀλλά διά τήν εὐφωνίαν ἐξ ἄλλης εὐθείας ἑνικῆς γέγονεν οἱ νόες· ἔθος γάρ τοῦτο Ἀττικοῖς, οἵ φασιν, Ἀριστοφάναι καί Σωκράται, ἀντί τοῦ οἱ Αριστοφάνεις καί οἱ Σωκράτεις. Εἰσί δέ καί λέγοντες οἱ νόοι, ὡς ἀπό τοῦ ὁ νόος, τοῦ

νόου· καλεῖ δέ αὐτούς καί ἡ Γραφή τῷ ὀνόματι τούτῳ, ὡς ἐν Ἠσαΐᾳ· Νοῦς μέγας ὁ ἄρχων Βαβυλῶνος, τοῦτ’ ἔστιν ὁ διάβολος· κατά Ἴωνας τοίνυν νοῦς, νοός, νόες, ὡς χροῦς, χροός, οἱ χρόες· Ἰωνική γάρ ἡ κλίσις.

Ὑπεράρχιον: Ὑπεράρχιος ὁ Θεός, ὡς ὑπέρ πᾶσαν ἀρχήν καί θεαρχικόν φῶς, ὡς ἀρχή τῶν λεγομένων θεῶν, ἀγγέλων φημί καί ἀνθρώπων δικαίων.

(≡14E_202≡> β'. Ἐνδότητος: Ἐνδότητά φησι τήν κρυφιότητα· πᾶσι γάρ τοῖς ἔξω αὐτῆς ἄγνωστός ἐστι.

γ'. Σύγκρασιν: Σημείωσαι τήν σύγκρασιν· καί διά τί τό θεῖον ἕν ὄν πληθύνεται.

Παραπετασμάτων: Παραπετάσματά φησι τά σωματικῶς περί Θεοῦ λεγόμενα ἐν ταῖς Γραφαῖς, οἷον μελῶν ἀνθρωπίνων, ἤ δυνάμεών τινων ὀνομασίας, Σημείωσαι δέ, ὅτι σαρκί ὄντας κατοπτεῦσαι τά ἄϋλα καί ἀσώματα· καί τοῦτο μᾶλλον ἐδήλου τά ἐν τῇ σκηνῇ παραπετάσματα, ὡς ἐνταῦθα αἰνίττεται.

Συμφυῶς: Ἀντί τοῦ ὁμοφυῶς, συγγενῶς.

§ 3. Ἡ τελετάρχις: Τελετή λέγεται κατά τούς τῶν Ἑλλήνων φιλοσόφους ἡ μετάδοσις τῶν μυστηρίων, ἅτε τελειοῦσα τόν μυούμενον καί τελειωτική τυγχάνουσα τῶν προσιόντων τοῖς τοιούτοις. Τελετάρχις οὖν ἱεροθεσία ἡ θεία τῆς τῶν ἱερῶν μυστηρίων ἡμῶν διακοσμήσεως θέσις καί παράθεσις, ἀρχή γενομένη ἐκ Θεοῦ διά τῶν ἀποστόλων τῶν τελειωτικῶν τούτων ἀγαθῶν· τούς γάρ μεμυημένους τελείους καλεῖ ὁ θεῖος ἀπόστολος Παῦλος λέγων· «ὅσοι οὖν τέλειοι, τοῦτο φρονῶμεν».

Ὑπερκοσμίου: Τό δέ ὑπερκοσμίου οὐκ αἰσθητῶς νοητέον, ἀλλά νοητῶς καί ὑπέρ τόν καθ' ἡμᾶς κόσμον. Σημείωσαι δέ, τίνα λέγει τά σχήματα καί τάς μορφωτικάς συνθέσεις, ἤγουν εἰκονίσματα, ἅπερ ἑξῆς παρατίθεται.

Πλάσεων: Σημείωσαι, ὅτι πλασματώδεις φησί τάς ἐνταῦθα μυστικάς παραδόσεις, ἅς ἐν τῷ Περί τῆς ἐκκλησιαστικῆς ἱεραρχίας λόγῳ ἀναπτύσσει· τοῦτο δέ θεοπρεπῶς ἐκληπτέον· πρός μέν οὖν τό 'μορφωτικαῖς' τό πλάσεων ἀποδοτέον, πρός δέ τό 'συνθέσει' τό ἁπλᾶς καί ἀτυπώτους.

(≡14E_204≡> Ὑλαία: Ὑλαίαν χειραγωγίαν φησί τό διά τῶν ὑλικῶν λεγομένων πρός τήν ἔννοιαν ἀνάγεσθαι τῶν ὑπέρ αἴσθησιν.

Φαινόμενα: Φαινόμενα δέ κάλλη τάς τῶν ἱερῶν οἴκων διακοσμήσεις λέγει, καί διεξοδικάς μαθητείας τάς τῶν ἁγίων Γραφῶν ἀναγνώσεις· διακοσμήσεων δέ τάξεις τούς τῶν ἱερέων βαθμούς. Σημείωσαι δέ, ὅτι τά ὁρώμενα κάλλη εἰκόνες εἰσί τῶν ἀοράτων διακόσμων, ὡς δηλοῖ καί ὁ Ἀπόστολος ἐν τῇ πρός Ἑβραίους, τά περί τῆς σκηνῆς θεωρῶν, καί Μωϋσῆς ἀκούων, «πάντα κατά τόν τύπον τόν δειχθέντα σοι ἐν τῷ ὄρει ποίησον».

Τάς διεξοδικάς: Διεζοδικαί εἰσι μαθητεῖαι αἱ διά τῶν ὁρωμένων καί διά πραγμάτων πλατύτεραι ἀποδείξεις τῶν νοητῶν ἐνιαίως καί ἀθρόως ταῖς νοήσεσιν ἐπιβαλλόντων.

Ἕξεως: Ἐκεῖ ἕξεις εἰσί τά θεῖα διατάττουσαι· ἕξις δέ ἐστι ποιότης ἔμμονος. Ἐνταῦθα δέ καί ἐκκλησιαστικαί τάξεις τάς ἕξεις, ἅτε ἀσωμάτους, ἐξοικονίζουσιν· αἱ γάρ ἕξεις ἀσωμάτων εἰσί.

Σημειωτέον, ὅτι ἡ παρ ' ἡμῖν τοῖς ἀνθρώποις τελουμένη ἱερατική μυσταγωγία μίμησίς ἐστι τῆς οὐρανίου ἱεραρχίας.

Ὑπερκοσμίως: Τό ὑπερκοσμίως οὐκ αἰσθητῶς νοητέον, ἀλλά νοητῶς καί ὑπέρ τόν καθ' ἡμᾶς κόσμον.

Ἱερογραφικαῖς: Τουτέστιν ἐν τοῖς ἱερῶς περί αὐτῶν συντεθεῖσι λόγοις ἐν ταῖς Γραφαῖς.

Ἡμᾶς ἀνάγοι: Σημειωτέον, πῶς ἀναγόμεθα εἰς θεολογίας, καί ὅτι ὁ Χριστός ἡμᾶς ἀνάγει.

Ἀκρότητας: Οὐδέν ὡς ἔτυχεν ὠνόμασται παρά τοῦ μακαρίου τούτου, ἀλλά πολυμαθῶς καί κυρίως μετά τῆς εὐσεβείας· ἐπειδή οὖν τήν παρ' ἡμῖν ἱεράν διάταξιν διά συμβόλων ὑλαίων καί ἐξοδικῶν καί πλάσεων εἶπε τελεῖσθαι πρός τόν ἡμῖν ἐφικτόν τύπον, οὖσαν καί μίμημα τῆς παρ' ἀγγέλοις ἱερᾶς διακοσμήσεως, (≡14E_206≡> εἰκότως τήν παρ' ἐκείνοις ἱεροφαντίαν ἀκρότητα κέκληκεν· ἀκρότητα γάρ εἰώθασι καλεῖν οἱ περί ταῦτα σχολάσαντες ἑκάστης οὐσίας τό καθαρώτατον καί ἐξ οὗ ἤρτηται προσεχῶς, τουτέστιν ἐχομένως, ἡ οὐσία· ὡς φέρε εἰπεῖν, ψυχῆς ἀκρότης ὁ νοῦς αὐτῆς ὁ καθαρώτατος, καί ἔρωτος ἀκρότης ὁ τῶν ἀναβεβηκότων καί θειοτάτων διάπυρος ἔρως· καί τῆς καθ' ἡμᾶς οὖν ἱεραρχίας καί μυστηριώδους διακοσμήσεως ἀκρότης τό καθαρώτατον αὐτῆς, ἐξ οὗ ἀνῆπται, καί τό ἐγγύς συντεῖνον ἀϋλίας· τό οὖν ἀκραιφνέστατον ἐν ἡμῖν σύμβολον, ἡ ἀκρότης τῶν ἀτυπώτων καί ἁπλῶν καί ἀσωμάτων μυστηρίων, ᾗ ἡ ἱεραρχία συναπτομένη ἐπιβατεύει, οἱονεί τῇ παρά ἀνθρώποις ἱεροφαντίᾳ· καί διά τῶν εἰκόνων ἀνάγει ἐπί τά καθαρά θεάματα τῆς νοητῆς τελετῆς ἀκρότητος λεγομένης εἰκότως τῶν ἐνθάδε σωματικῶν τε καί ὑλοειδῶν.

ΕΙΣ ΤΟ ΚΕΦΑΛΑΙΟΝ Β'

§ 1. α'. Ἐκφαντορίαν: Ἐκφαντορίαν λέγει τήν ἐξάγγελσιν· πρόδηλον δέ, ὅτι τήν διά συμβόλων καί τύπων, ἅτινα καί πλάσματα εἶπεν· ἁπλότητα δέ τό τῆς φύσεως ἄϋλον.

β'. Ἠπίστατο γάρ, ὅτι ἀνυμνῶν τούς ἐν τοῖς οὐρανοῖς ἱερούς νόας, ὡς αὐτός φησι κατά τήν Γραφήν, ἀνάγκην εἶχεν εἰπεῖν περί ζώων θηριομόρφων καί ἀετῶν καί τῶν ἄλλων οἷς ἀπεικάζουσιν αἱ θεῖαι Γραφαί τάς ἀρχαγγελικάς δυνάμεις· λέγει γάρ· «ἵνα μή καί ἡμεῖς, ὡς οἱ πολλοί, νομίζωμεν ἀνιέρως μή ἔχειν ἐξήγησιν τάς τῶν πολυπροσώπων καί πολυπόδων τάξεις ἐν οὐρανοῖς»· ταύτας οὖν διασαφῆσαι προῄρηται κατά τήν τῶν ἱερῶν λογίων ἐκφαντορίαν.

(≡14E_208≡> Ἀτεχνῶς: Μεγάλως, ἤ παντοίως, ἤ ἀληθῶς, ἤ ἁπλῶς.

γ'. Ποιητικαῖς: Ὅτι καί ποιητικαῖς τισι πλάσεσιν ἐχρήσατο ἡ Γραφή πρός χειραγωγίαν τῆς ἀνθρωπίνης διανοίας, ἀλλ’ ὡς οὐ δυναμένης τήν τῶν μειζόνων παραλαβεῖν διδασκαλίαν· ἐοικέναι γάρ τά οὐράνια σύμβολα τοῖς παρά ποιηταῖς φανταζομένοις, ὡς ὁ ἱερός ἀνήρ οὗτός φησι (ποιητάς δέ νόησον ἤ τούς παρ' Ἕλλησι θαυμαζομένους, οἷον Ὅμηρον, Ἡσίοδον, καί τούς ἑξῆς), ἤ ποιητικαῖς ὡσανεί πλαστικαῖς ὑποτυπώσεσιν. Εἰδυῖα γάρ ἡ τοῦ Θεοῦ σοφή συγκατάβασις τόν ἡμέτερον νοῦν ἀσθενῆ καί πρός ὑφηλοτέραν θεωρίαν ἀνεπιτηδείως ἔχοντα, ἀναγωγήν αὐτῷ

συμφυῆ πλασαμένη, οὕτω τάς ἀρχαγγελικάς εἰς φανερόν ἤγαγε διακοσμήσεις, οὐχ ὅπως ἔχουσι τῇ ἀληθείᾳ διασαφήσασα, ἀλλ' ὅπως ἡμεῖς δυνάμεθα καταλαβεῖν· μηδέν οὖν ἀνοίκειον φαντάζου τῶν οὐρανίων.

§ 2. Συνθέσεις: Συνθέσεις φησί τάς εἰρημένας πλάσεις καί σχηματοποιίας.

Ἐφ' ἑαυτῶν: Ἐφ' ἑαυτῶν, τουτέστιν ὡς ἔχουσι φύσεως, ἄγνωστοι ἡμῖν, φησί, καί ἀθεώρητοι ὑπάρχουσιν.

Ἀπότομον: Ἀπότομον, οἷμαι, λέγειν αὐτόν τήν ξένην, καί οἷον τῶν συνήθων ἀποτετμημένην ὁδόν καί πλάσιν· διό καί σκηνήν αὐτήν ὀνομάζει, σαφηνίζων οὐκ ἀληθεῖς εἶναι τάς ἀναγεγραμμένας τῶν ἁγίων ἀγγέλων μορφάς· οὔτε γάρ τῇ ἀληθείᾳ τοιοῦτοί εἰσιν, οἵους αὐτούς ἡ ἱερά παραδίδωσι Γραφή, ἀλλ’ ἵνα ἡμεῖς ἐφικώμεθα τῆς μεγαλειότητος αὐτῶν. Αὐτός δέ ὁ θεῖος Διονύσιος πειρᾶται συμβάλλειν τά εἰρημένα περί αὐτῶν καί δεικνύειν, ὅτι δυνατόν δι' ἀναπτύξεως οὕτω νοεῖν τάς ἀγγελικάς διακοσμήσεις, ὡς εἴρηται.

Ἀΰλων ποσῶς: Ποσῶς ἀΰλων, τουτέστιν μερικῶς οὐ γάρ (≡14E_210≡> πάντῃ ἀΰλων· ὑπερκειμένας δέ οὐσίας οὐρανόν καί τά κατ' οὐρανόν λέγει, οἷον ἀστέρας· τό γάρ λεπτομερέστατον αὐτῶν καί μονοούσιον ἐγγύς ἐστί πως ἀϋλίας.

Θεοειδέσιν: Θεοειδεῖς ἁπλότητάς φησι τάς νοητάς οὐσίας· ἄϋλοι γάρ οὐσίαι καί ἀσύνθετοι πάντως εἰσίν, οὐκ οὖσαι κρᾶμα καί σύγκριμα τῶν στοιχείων· τά γάρ σώματα ἐκ τούτων, ἐκεῖνοι δέ ἀσώματοι.

Ἐνιζάνον: Ἐγκαθίζον καί ἐναπομένειν ποιοῦν.

Λεοντείων: Αὗται αἱ μορφαί τῶν θείων καί ἁγίων χερουβίμ καί παρά τῷ θείῳ Ἰεζεκιήλ καί παρά τῷ θεσπεσίῳ Ἰωάννῃ ἐν τῇ Ἀποκαλύψει ἀνεγράφησαν.

Ἐσμῶν: Ἐσμός ἐστι τό συμπεπληρωμένον πλῆθος.

Καί τό ὀρνιθείας. Οἷον ὀρνιθοειδοῦς μορφῆς καί ἐξ ὀρνίθων.

Ζώων: Ζῶα ἄλλα φησίν, οἷον ἵππους, ἡμιόνους, καί τά τοιαῦτα, ὕλας δέ ἀτιμοτέρας, οἷον θρόνους ὡς ἐκ ξύλων, καί τροχούς, καί ρομφαίας ἐκ σιδήρου, ὡς τήν ρομφαίαν τήν ἐξεσπασμένην ἐπί τόν Βαλαάμ, καί ἣν εἶδεν ὁ Δαβίδ, ὡς ἐν ταῖς Βασιλείαις εἴρηται, βιβλίῳ β', καί ἅρματα ὡς ξύλινα.

Ἐμπαθές: Ἐμπαθές λέγει, ἐπειδή τό λεοντόμορφον θυμικόν τι σημαίνει, καί τό μόσχειον εἶδος ἐπιθυμητικόν, ἅτινα πάθη καί μεγάλα ὑπάρχουσιν. Ὁμοιότητας δέ φησι τάς ὁμοιωτικάς ὑπονοίας· τοιγαροῦν λέγει ὁ Ἰεζεκιήλ, ὡς ὁμοίωμα ἑωρακέναι τοῦ θρόνου· καί ὁμοίωμα λέοντος, ὅπερ δηλοῖ τήν πλασματώδη τῶν δοκούντων φαντασίαν· διό κἀνταῦθα εἴρηται, 'ἀνόμοιοι ὁμοιότητες'· οὐ γάρ πάντας ὁμοίους ὁρᾷ ὁ προφήτης, ἀλλά τούς μέν τοιώσδε, τούς δέ τοιώσδε· ἀλλά καί ἀνόμοιοί εἰσι παντελῶς, οἷς δοκοῦσιν εἶναι ὅμοιοι· οὐδέν γάρ λέοντος ἤ μόσχου ἤ τῶν ἑξῆς ἀληθῶς ἔχουσι· τί δέ δηλοῖ τό ἀνόμοιον, ἐν τοῖς ἑξῆς εὑρήσεις.

(≡14E_212≡> Ἀλλ' ἡ: Ἀπολογητικῶς.

α'. Ὡς μήτε εἰς τά θείας: Ἐπαγγέλλεται διά τῆς ἰδίας ἑρμηνείας δεικνύειν ἑκάτερον, ὡς μήτε δόξαι ὑβρίζεσθαι τά

οὐράνια, μήτε ἡμᾶς εἰς χαμαιζήλους ταπεινότητας ἐμπαγῆναι περί τῶν ἐν ἀγγέλοις λεγομένων ζώων.

β'. Εἰκότως προβέβληνται: Διά τί σύμβολα τῶν ἀτυπώτων οἱ τύποι καί τῶν ἀμορφώτων αἱ μορφαί, ἐνταῦθά φησιν.

Ἀσχηματίστων: Ἀντί τοῦ ἀμορφώτων.

γ'. Ἀμέσως: Τουτέστι μή διά μέσων τῶν τύπων, ἀλλ’ ἀθρόως καί κατά πρώτην ἐπιβολήν· τό δέ 'προτείνουσι ' ταὐτόν ἐστι τῷ προτιθέασι, καί προβάλλονται.

δ'. Μορφώσεις: Σημείωσαι, ὅτι τά ἀσώματα ἀμόρφωτά εἰσιν· ὅταν οὖν ἀκούσῃς περί τοῦ ὑπερουσίου, «ὅς ἐν μορφῇ Θεοῦ ὑπάρχων», τό ἀπαράλλακτον πρός τόν ἑαυτοῦ Πατέρα νόησον· τοῦτο γάρ δηλοῖ καί ἡ εἰκών τοῦ Θεοῦ τοῦ ἀοράτου καί τό, «ὁ ἑωρακώς ἐμέ, ἑώρακε τόν Πατέρα», Οὕτω καί ὁ ἅγιος Βασίλειος ἑρμηνεύει ἐν τῷ πρός τόν οἰκεῖον ἀδελφόν λόγῳ τῷ περί διαφορᾶς οὐσίας καί ὑποστάσεως.

§ 3. Ὡς διττός ἐστι τῆς ἱερᾶς: Ὅτι κατά δύο τρόπους ὑμνεῖται τό θεῖον· ἤ ὡς ὅμοιον πᾶσι· πάντα γάρ ἐν αὐτῷ συνίσταται· ἤ ὡς ἀνόμοιον· οὐδέν γάρ ἐστι τῶν ὅλων.

Διά τῶν ἀνομοίων: Ὅτι δι' ὁμοίων καί ἀνομοίων πλάττονται οἱ τύποι· καί πῶς πλάττονται, ὧδέ φησιν.

Ποτέ μέν ὡς λόγον: Κατά τι λέγεται λόγος καί νοῦς ὁ Θεός· ἐν τῷ, «τίς ἔγνω νοῦν Κυρίου;», καί ἐν τῷ, «καί ἐγένετο λόγος Κυρίου πρός με λέγων», καί τά ἑξῆς. Λογιότητα δέ φησιν ἐπί τοῦ Θεοῦ, οὐχ ὅτι λογικόν θέλει δηλῶσαι τόν Θεόν, ὡς μετέχοντα (≡14E_214≡> λόγου (τοῦτο γάρ ἐμφαίνει), ἀλλ’ ὅτι αὐτολογιότης ἐστίν, ὅλος λόγος ὤν· οὐσίαν δέ λέγουσιν ἐπί Θεοῦ, ὅταν εἴπωσιν· «ἐγώ εἰμι ὁ ὤν, καί ὁ ὤν ἀπέσταλκέ με· σύ δέ ὁ αὐτός εἶ»· ἀπό γάρ τοῦ εἶναι καί τοῦ ὄντος ἡ οὖσα, καί τό παράγωγον οὐσία, ἡ ὕπαρξις.

Καί ζωήν: Ὅτι οὔτε ζωή, οὔτε φῶς, οὔτε νοῦς, οὔτε οὐσία κυρίως λέγεται ὁ Θεός, ἀλλ’ αἰτιολογικῶς· ἔστι γάρ καί ὑπέρ ταῦτα καί οὐχ οἷα ταῦτα.

Ἀόρατον αὐτήν: Ὅτι τά κατά ἀπόφασιν λεγόμενα ἐπί Θεοῦ, οἷον ἀόρατος, ἄπειρος, καί τά τοιαῦτα, ἀνόμοιά εἰσι· δηλοῦσι γάρ οὐ τί ἐστιν, ἀλλά τί οὐκ ἔστιν ὁ Θεός· οὕτω καί ὁ θεολόγος Γρηγόριος.

Ἀνόητον: Ἀνόητόν φησιν οὐ τό ἠλίθιον, ἀλλά τό μή νοούμενον ὑπό τινος· ἀόριστος δέ ὁ Θεός, ὡς ὅρῳ μηδενί ὑποπίπτων, ἀλλ’ αὐτός πάντων ὅρος ὤν καί τά πάντα ἐν ἑαυτῷ ὁρίζων, ὅρῳ δέ οὐχ ὑποπίπτει· διότι οἱ μέν ὅροι ἐκ τῶν καταφάσεων σύγκεινται, αἱ δέ καταφάσεις ἐπί Θεοῦ ἀνάρμοστοι, ὡς ψευδόμεναι· ὑπέρ γάρ ταύτας ὁ Θεός, ὡς οὐκ ὤν οὐσία, ἀλλ' ὑπέρ οὐσίαν.

Αἱ ἀποφάσεις: Οὐ μόνον ἐπί Θεοῦ, ἀλλά καί ἐπί τῶν θείων ἁπάντων, τουτέστιν ἐπί τῶν μετά Θεόν νοητῶν πάντων, καί τάς ἀποφάσεις ἀληθεῖς εἶναί φησι, καί τάς καταφάσεις ἀναρμοδίους. Ἀναρμόδιοι μέν οὖν εἰσιν αἱ καταφάσεις, ὅταν εἴπωμεν ἤ τόν Θεόν ἤ τάς νοεράς δυνάμεις, ζωήν ἤ φῶς· οὔτε γάρ ζωή τοιαύτη τίς ἐστιν, ὡς διά εἰσπνοίας καί ἐκπνοίας ζῇν, οὔτε φῶς τό φαινόμενον καί ποιοῦν ὁρᾶσθαι τά προκείμενα, ἀλλά ἀνώτερόν τι τούτων. Αἱ

δέ ἀποφάσεις αἱ διά ἀρνήσεων ποσῶς ἐπί τῶν νοητῶν οἰκειότεραι λέγομεν γάρ, ὅτι ἀόρατοι, (≡14E_216≡> καί ὅτι οὐχ ὑποπίπτουσι θέᾳ, νοοῦμεν· τί δέ ἐστιν αὐτό τό μή φαινόμενον, οὔτε πολυπραγμονεῖν, οὔτε παριστᾷν δοκεῖ ὁ λόγος· καίτοι τό ζωή καί φῶς δοκεῖ σημαίνειν τί ἐστι, καί ταῦτα μηδόλως δηλοῦν τί ἐστι Θεός.

Τιμῶσι τοιγαροῦν: Ὅρα πῶς καλῶς ἀπελογήσατο, διά τί ζώων μνήμην ἔχειν τά οὐράνια, ἤτοι εἰκόνας· ὥσπερ γάρ ὁ ἐπί πάντων Θεός οὐδέν ἐν τοῖς πᾶσιν ἔχει ὁμογενές, καί διά τοῦτο εἰκότως οὐδέν τῶν πάντων αὐτοῦ ἐστι δηλωτικόν, ἀλλά λοιπόν ἄλλῃ μεθόδῳ θεολογοῦμεν, λέγοντες, τί οὐκ ἔστι Θεός, ὅπερ καλεῖ διά τῶν ἀνομοίων, οὕτω καί ἐπί τῶν οὐρανίων δυνάμεων, αἵ μετά Θεόν εἰσι, τεχνικῶς ἐποίησαν οἱ θεολόγοι, μηδενί τῶν νοητῶν αὐτάς ὁμοιώσαντες, ἀλλ’ ἐκ τῶν αἰσθητῶν, ἅπερ καλεῖ ἄτιμα, τήν τούτων λαβόντες ἐμφέρειαν, τοῦτο πρός τιμήν αὐτῶν πεποιηκότες, ἵνα πλασματώδης καί οὐκ ἀληθής γένηται τούτων ἡ μίμησις εἰ γάρ ὁ λεοντόμορφος λεγόμενος καί πολύπους καί πολύπτερός ἐστι καί λογικός καί ἄϋλος, πῶς οὐ δῆλον, ὅτι ὑπερκοσμίως ὑπερβέβηκε τά ὑλικά καί παρ' ἡμῖν νοούμενα;

Εἰς μέν γάρ τάς τιμιωτέρας: Ἰδού καί ἕτερος λογισμός, δι' ὅν τοιαύταις ὁμοιότησιν ἡ Γραφή περί τῶν οὐρανίων ἐχρήσατο· εἰ γάρ τιμιωτέροις ἐχρήσατο πλάσμασιν, οἷον χρυσοειδεῖς ἤ ἐπαστράπτοντας λέγουσα εἶναι τάς θείας δυνάμεις, πάντως ἄν ἐπείσθησαν οἱ ἀκούοντες ἐκ τῶν παρά ἀνθρώποις τιμιωτέρων τό πιστόν λαμβάνοντες· νῦν δέ τά ἀπεμφαίνοντα καί αἰσχράς εἰκόνας παρενέβαλεν, ἵνα, ἀκριβῶς εἰδότες, ὅτι οὔκ εἰσι τά τοιαῦτα, ζητήσωμεν τήν ἀλήθειαν τῶν ὄντων.

Ἀβλαβῶς: Αἱ γάρ λεγόμεναι πυρός φλόγες θεῖαι οὐσίαι οὐ καυστικαί, ἀλλά ζωτικαί εἰσιν.

Αἰσχράς: Πῶς γάρ οὐκ αἰσχρόν τό ἐξ ὑλικῶν εἶναι τά σύμβολα τῶν νοητῶν;

(≡14E_218≡> Θεάματα: Θεάματα λέγονται τά μετά θαύματος ὁρώμενα.

Καί γάρ ὁ θυμός. Ὅτι οὐχ ἁπλῶς ἀλογίας ἔμπλεως ἡ θυμοειδής κινησις, ἀλλ’ ἐπί τῆς ἀλόγου φύσεως. Ἀναγνωστέον τόν τελευταῖον λόγον τοῦ βιβλίου, ὅν εἶπεν εἰς τήν ὀπτασίαν τῶν ἁγίων χερουβίμ· ἐκεῖ γάρ καί ταῦτα πάντα πλατέως διαγεγύμνασται.

Τό μηδέ ἕν τῶν ὄντων: Σημείωσαι, ὅτι οὐδέν τῶν ὄντων ἐστέρηται τῆς τοῦ καλοῦ μετουσίας· σημειωτέον οὖν τί νοεῖται ὁ θυμός ἐπί τῶν ἀλόγων, καί τί ἐπί τῶν λογικῶν, καί τί ἐπιθυμία ἑκατέρων.

Λογιότητα: Σημειωτέον, ὅτι καί ἐπί ἀγγέλων λογιότητα λέγει· ἀμείλικτον δέ, ἤτοι ἀνένδοτον καί ἀχαύνωτον.

Ἐπιθυμίαν: Ὅτι ἡ ἐπιθυμία τῶν νοητῶν ἔρως ἄσχετός ἐστι περί τόν Θεόν, ὅπερ καλεῖ ἀϋλίαν.

Διά τόν ἀμιγῆ: Ἀμιγῆ φησι τόν καθαρόν καί εἰς οὐδέν ἕτερον ἐσχολακότα· ὁ γάρ θείῳ ἔρωτι περιδεδραγμένος ὅλος ἐστίν αὐτοῦ, καί εἰς τό ἐφετόν μόνον ἀνατείνεται, παρά μηδενός κωλυόμενος μεταβατικοῦ καί σωματικοῦ λόγου. Ἀλογίαν δέ φάσκοντες εἶναι ἐν

ταῖς ἀσωμάτοις οὐσίαις, οὐκ ἀνοησίαν αὐταῖς ἐνυβρίζομεν ἐν τῷ διά τῶν λεοντείων μορφῶν καί τῶν μοσχείων καί τῶν ὀρνιθείων, ὡς ἐπί τοῦ ἀετοῦ, ἀλόγων τύπους καί σύμβολα λέγειν, πρέπειν τοῖς οὐρανίοις τάγμασιν, ἀλλά μυστικῶς τό ἐξηλλαγμένον τοῦ κατ' ἐκείνους λογικοῦ πρός τό καθ' ἡμᾶς σημαίνομεν· ἡμεῖς γάρ τό λογικόν παριστῶμεν διά τοῦ τῆς γλώττης ὀργανικοῦ καί τῶν φωνητικῶν τύπων, τύπτοντες τόν ἀέρα τῷ διαλεκτικῷ καί τοῦ λόγου μεταβαίνοντος ἐξ ἡμῶν εἰς τάς τῶν ἀκροωμένων ἀκοάς ἐκ σώματος εἰς (≡14E_220≡> σῶμα, καθά φησι καί ὁ θεῖος Βασίλειος ἐν τῷ περί τοῦ, Πρόσεχε σεαυτῷ, λόγῳ· ἐκεῖ δέ οὐχ οὕτως, ἀλλ’ ἐν ἀσωματίᾳ τυγχάνοντες καί εἰς ἀλλήλους χωροῦντες καί ἀποχωροῦντες, παντός λόγου τρανότερον τάς ἀλλήλων νοήσεις κατοπτεύοντες, ἀλλήλοις ὥσπερ διαλέγονται, διά σιγῆς τοῦ λόγου μεταδιδόντες ἀλλήλοις.

Ἀπόκλισιν: Ἀντί τοῦ ἀπόνευσιν.

α'. Μεταβατικοῦ: Μεταβατικός ὁ ἡμέτερος λόγος ὁ προφορικός, ὡς ἀπό τοῦ λέγοντος διαβαίνων πρός τόν ἀκούοντα· σωματικοῦ δέ πρός ἀντιδιαστολήν τοῦ ἐνδιαθέτου· οὗτος γάρ οὔτε σωματικός, οὔτε μεταβατικός.

β'. Ὕλης: Ἀτιμοτάτην ὕλην φησί τήν σωματοειδῆ ἅπασαν φύσιν, πρός ποικίλα εἴδη ἔμψυχά τε καί ἄψυχα καί λοιπά ὑπό Θεοῦ διακοσμηθεῖσαν· νοεράν δέ εὐπρέπειαν τά περί Θεοῦ λεγόμενα, ὧν μετρίας καί ἀμυδράς εἰκόνας ἐν τοῖς οὖσιν εὑρίσκομεν, οἷον τό ἁπλῶς εἶναι, τό ζῆν, τό αἰσθάνεσθαι, καί τά ὅμοια.

γ'. Ὅτι μέν ἐκ Θεοῦ καί ἡ ὕλη πᾶσα τήν ὕπαρξιν ἔσχεν, οὐδείς σοφός ἀντερεῖ λόγος· φέρει δέ καί αὐτήν ἐν ἑαυτῇ ἀποδείξεις τοῦ ἐκ Θεοῦ καί παρῆχθαι καί διακεκομῆσθαι· πᾶσα γοῦν ἐξ ὕλης διακόσμησις ἀμυδρά τινα καί σκιώδη ἀπηχήματα τῶν νοερῶν ἔχει· ὥσπερ γάρ ἐπιτήδεια τά νοερά εἰς ὑποδοχήν, ὡς ἐφικτόν, τῶν ἐκ Θεοῦ προνοητικῶν προόδων, καί ζωή ὄντα, ζωοῦνται παρά τοῦ ὑπέρ πᾶσαν ζωήν ὄντος Θεοῦ, καί δυνάμεις ἔχουσιν εἰς εὐεργεσίαν ἐνεργητικάς, καί κίνησίν τινα ὑπερκόσμιον· οὕτω καί τά ὑλαῖα πάντα ὁμοῦ τε καί κατά μέρος, τήν τε πρόνοιαν τοῦ Θεοῦ οἰκείως ἑαυτοῖς δέχεσθαι, ἐπιτηδείως ἔχουσιν, καί ζωοῦσθαι, καί ζωή γίνεσθαι δύνανται, ὡς τό, «ἐξαγαγέτω ἡ γῆ ψυχήν ζῶσαν», καί αὖθις, «ἐξαγαγέτω τά ὕδατα ἑρπετά ψυχῶν ζωσῶν»· ἀλλά καί δυνάμεις εὐεργετικάς τοῖς ἀπό γῆς πνέουσιν, ὡς δηλοῦσιν αἵ τε διά βοτανῶν καί τῶν (≡14E_222≡> μεταλλικῶν ὠφέλειαι, καί κίνησιν δέ κατάλληλον τά ὑλαῖα ἔχει τήν εἰς γένεσιν προϊοῦσαν καί φθοράν, καί τάξιν δέχεται τήν παρά τοῦ Θεοῦ ἐπιτεθεῖσάν τε καί ἐπιτεθησομένην. Ἀλλά καί φωτίζεσθαι πέφυκε παρουσίᾳ νοερῶν δυνάμεων, ὡς ἐπί τοῦ κατά τήν ἀνάστασιν τοῦ Κυρίου ἀστράπτοντος ἀγγέλου καί φωτίζοντος τό περιέχον. Ἔχει δέ ταῦτα ἡ ὕλη πάσχουσα, οὐ μήν ὡς τά νοερά ἐνεργοῦντα· διό κατ' ἔσχατον ἀπήχημα λέγεται ταῦτα ἔχειν· τί δέ ἐστιν ἀπήχημα ἔσχατον ἐν τῷ Περί θείων ὀνομάτων λόγῳ σαφηνίσω ἐν κεφαλ. δ'.

Καί τῶν αὐτῶν: Σημείωσαι, ὡς πᾶσαν τήν ὕλην οὐ φησί νοεράν· οὐκοῦν καί οἱ ἀστέρες ἄψυχοι· οὐ γάρ ἔχουσι νοῦν. Εἰ καί

τά αὐτά ὀνόματά φησιν, ἀλλ’ οὐχ ὁμοίως λαμβάνονται· πρός τήν φυσικήν δέ ἰδιότητα τοῦ ὑποκειμένου καί ὁρίζονται καί νοοῦνται.

§ 5. Θεαρχικαῖς: Τουτέστι τοῖς περί Θεοῦ νοήμασι.

Τῶν φαινομένων τιμίων: Σημείωσαι τίνα καλεῖ τίμια, ὡς ἥλιον καί τούς ἀστέρας, καί τίνα μέσα, πῦρ καί ὕδωρ, καί τίνα ἔσχατα, ὡς μύρον, καί τίνα ἄτιμα, ὡς θηρία καί σκώληκας· καί ὅτι ἐπί Θεοῦ καί τά θηριώδη σύμβολα εἴρηται καί τά ἐξ ὕλης, καί τά τίμια δέ καί τά μέσα καί τά ἄτιμα.

Ἥλιον: Ἥλιον δικαιοσύνης Μαλαχίας ὁ προφήτης ὀνομάζει, ὁ δέ θεῖος Πέτρος ἐν τῇ καθολικῇ αὐτοῦ ἐπιστολῇ, «ἕως οὗ φωσφόρος ἀνατείλῃ ἐν ταῖς καρδίαις ὑμῶν», καί τά ἑξῆς· οὗτος γάρ ἐστιν ὁ ἑῷος ἀστήρ. Ὁ δέ Μωϋσῆς, «ἐν τῇ βάτῳ πῦρ», φησίν, «οὐ κατακαῖον, ὅ ἐστιν ἀβλαβῶς φωτίζον. Ὁ δέ Ἱερεμίας ὕδωρ λέγει· «ἐμέ ἐγκατέλιπον πηγήν ὕδατος ζῶντος», καί ἄλλοι δέ ἄλλα· καί ὁ Κύριος, «ποταμοί ἐκ τῆς κοιλίας αὐτοῦ (≡14E_224≡> ρεύσουσιν ὕδατος ζῶντος»· ὁ δέ Σολομῶν ἐν τῷ Ἄσματι τῶν ἀσμάτων μύρον φησί· «μύρον ἐκκενωθέν ὄνομά σου». Ἐν δέ τοῖς δώδεκα προφήταις Ὡσηέ καί Μιχαίας τά εἰρημένα ὧδε θηρία καταλέγουσιν ἐν τοῖς περί Θεοῦ προφητευομένοις, ὁ δέ Δαυίδ σκώληκα αὐτόν λέγει· «ἐγώ εἰμι σκώληξ καί οὐκ ἄνθρωπος», ἐκ προσώπου τοῦ Κυρίου ἤ σκώληκι αὐτόν παρείκασεν, ὡς μή ἀπό σπέρματος γεννηθέντα, ὡς ἡμεῖς, ἀλλά σπέρματος χωρίς, ὡς οἱ σκώληκες, οἵτινες οὐκ ἀπό σπέρματος τίκτονται, ἀλλ’ ἀπό γῆς ἤ ἀπό σήψεως· τό γάρ, «ἐγώ εἰμι σκώληξ καί οὐκ ἄνθρωπος», ὡς ἐκ προσώπου τοῦ σαρκωθέντος Θεοῦ λέγεται, εἰ καί μή, κατά τήν θεότητα λαμβανόμενον, ἀλλά κατά τό φαινόμενον ταπεινόν τῆς σαρκός. Θεοσόφους ὑποφήτας τούς προφήτας φησίν. Τινά γάρ ἀγάλματα ἤδη προπαρέθηκεν ἐν τῷ Περί θείων ὀνομάτων λόγῳ.

Ἀγαλμάτων: Τίνα δηλοῦται ἐναποκείμενα ἀγάλματα, τοῖς λεγομένης ἐν τῷ Περί θείων ὀνομάτων λόγῳ ἐν τῇ ἀρχῇ τοῦ θ' κεφαλαίου δεδήλωται.

Ἀπηχημάτων: Ἔσχατα τῶν τοῦ Θεοῦ ἀπηχημάτων ἐν δημιουργίᾳ φησίν, ἅ προεῖπεν ἀτιμότερα τῶν ὑλαίων διακοσμήσεων. Πῶς δέ ταῦτα λέγονται ἔσχατον ἀπήχημα, ἐν τῷ Περί θείων ὀνομάτων λόγῳ, κεφαλαίῳ δ', λεχθήσεται ἡμῖν πλατύτερον.

Εἰ μή τό δυσειδές: Τό δυσειδές τό θηριόμορφον νόησον καί κτηνῶδες, ὅ περί τῶν ἀγγέλων φησίν ἡ Γραφή· τό δέ 'ἐκφαντικῆς' σημαίνει τῆς φανεροποιοῦ, ἤγουν τῆς ἐκφαινούσης.

Ἀγγελοειδεῖς: Καλῶς τάς τυπικάς εἰκονογραφίας, ἅς καί προεῖπεν, οὐκ ἀγγελικάς, ἀλλ’ ἀγγελοειδεῖς ὠνόμασεν· οὐ γάρ αὐτῶν τῶν ἀγγέλων, ὡς εἰσίν, αἱ εἰκόνες ἐγράφησαν, ἀλλ’ ἔμφασίν τινα εἰδοποιίας ἀσωμάτων ὑπεμφαίνουσιν, ὡς ἐξηγήσατο αὐτός ἑαυτόν.

(≡14E_226≡> Ἀφορίσασθαι: Τό ἀφορίσασθαι εἴωθε λέγειν ἐπί τῶν διακεκριμένως ὁριζομένων καί διασαφουμένων.

Οἰόμεθα: Κατά κοινοῦ τό οἰόμεθα· ἵνα εἴη, οἰόμεθα ἱεραρχίαν εἶναι, καί τίνα οἰόμεθα ὀνήνασθαι, τουτέστιν ὠφελεῖν δύνασθαι τούς ἱεράρχας διά τῶν ἱερῶν τελετῶν.

Σύ δέ, ὦ παῖ: Πῶς παῖδα καλεῖ τόν θεῖον Τιμόθεον ὁ μέγας Διονύσιος, ζητητέον· ἤ γάρ, ὡς οἶμαι, ἅτε προβεβηκώς αὐτόν τοῖς ἔτεσι, τοῦτό φησι, καί τῇ φιλοσοφίᾳ προέχων, ὡς καί προερωτᾶσθαι παρ' αὐτοῦ, καθά δηλοῖ τά μετά χεῖρας συγγράμματα κἄν γάρ πρό τοῦ θείου Διονυσίου ἐπίστευσεν ὁ ἅγιος Τιμόθεος, ὡς αἱ Πράξεις τῶν ἁγίων ἀποστόλων δηλοῦσιν, ἀλλ' οὖν τήν ἔξω παιδειαν ἱκανώτερος ἦν ὁ μέγας Διονύσιος· ἤ παῖδα καλεῖ αὐτόν, ὡς μιμούμενος τόν Κύριον λέγοντα, «παιδία, μή τι προσφάγιον ἔχετε;», ἤ ἐπειδή τούς κατά Θεόν ἀκακίαν ἀσκοῦντας παῖδας ἐκάλουν, ὡς καί Παπίας δηλοῖ βιβλίῳ πρώτῳ τῶν Κυριακῶν ἐξηγήσεων, καί Κλήμης ὁ Ἀλεξανδρεύς ἐν τῷ Παιδαγωγῷ.

Πληθύος: Πρός τό πληθύος τό ἑνοειδῆ ἐπήγαγε· τά μέν γάρ ἅγια ἑνοποιεῖ, τά δέ βέβηλα καί τῆς ἁμαρτίας ὄντα εἰς πολλά διά τῆς διαιρέσεως πληθύνει. Τοῦτο γοῦν νῦν καλεῖ πλῆθος, τό οἱονεί βέβηλον.

ΕΙΣ ΤΟ ΚΕΦΑΛΑΙΟΝ Γ'

Ἔστι μέν ἱεραρχία: Ὅρος ἱεραρχίας.

Ὡς ἐφικτόν: Ὡς δυνατόν.

Τελεταρχικόν: Ἤγουν τελειοποιοῦν.

Ἀμιγές ἐστι καθόλου: Ὁμοιότης καί ἰσότης καί ταυτότης τό ἕν καί ἑνοποιόν, ἅτε ἁπλοῦν καί ἀμιγές καί ἀσύνθετον καλεῖται· (≡14E_228≡> ἀνόμοιον δέ καί ἄνισον καί ἑτερότητα καί μικτόν καί ἐν μεταβολῇ τό πρόσυλόν φασι. Τό οὖν ἕν ὁ Θεός νοοῖτ' ἄν.

Θιασώτας: Θίασος μέν κυρίως ὁ χορός. Θιασώτας δέ ἐνταῦθα τούς περί τά θεῖα ἀναστρεφομένους φησί. Διειδέστατα μέν λαμπρά, διαυγῆ, ἀκηλίδωτα δέ ἀρρύπωτα.

Ἐνεργῆσαι. Ταῦτα νομίζω δηλοῦν, ὅτι οὐ χρή τινα τῶν ἐν ἱερατικῷ βαθμῷ καταλεγομένων μεῖζόν τι τῆς οἰκείας τάξεως ποιεῖν, ἀλλά τό ἐπιβάλλον τῇ οἰκείᾳ ἀξίᾳ μόνον ἐνεργεῖν καί παραδιδόναι διδάσκοντα, μή μήν ἐπιχειρεῖν εἰς τά ὑπέρ τήν ἀξίαν· οἷον, τούς πρεσβυτέρους διδάσκειν, καί τό δῶρον προσκομίζειν, οὐ μήν καί χειροτονεῖν· διακόνους διδάσκειν, οὐ μήν καί βαπτίζειν· οὐ γάρ δώσουσι Πνεῦμα ἅγιον, ὡς οὐδέ ὁ Φιλιππος ἐν ταῖς Πράξεσι τῶν ἁγίων ἀποστόλων, ὁ διάκονος, ἀλλά μήτε προσφέρειν, καί οὕτως ἐφεξῆς, ἀλλά καί τούς τελουμένους τά καθήκοντα μόνον πράσσειν, ἵνα φυλάττοιτο καλῶς τό παρά τῷ θείῳ Παύλῳ· «ἕκαστος ἐν ᾧ ἐκλήθη βαθμῷ μενέτω».

Τελεταρχίας: Τουτέστι τελειώσεως.

Τάξεσι: Κατά τό διάφορον γάρ καί ὑπεραναβεβηκός τῶν τάξεων καί τό ἐπιστημονικόν εἶναι δεῖ.

Κεκληρωμένων ἡ τελείωσις: Σημείωσαι τις ἡ τῶν ἱεραρχῶν τελείωσις, καί πῶς Θεοῦ εἰσι συνεργοί κατά τόν θεῖον Ἀπόστολον.

Τήν θείαν ἐνέργειαν: Τουτέστι τά τοῦ Θεοῦ ἔργα καί αὐτόν ἐργαζόμενον, σοφίζοντα, τελειοῦντα, καί τά ὅμοια, εἰς τούς παιδαγωγουμένους κατά δύναμιν ἐργαζόμενον.

Ἐπειδή τάξις: Σημείωσαι τήν τάξιν καί τό τῆς ἱεραρχίας ἀποτέλεσμα, καί ὅτι τούς προσιόντας δεῖ πρῶτον καθαίρεσθαι τῇ

διδασκαλίᾳ τῶν διαιρετικῶν τῆς ἁμαρτίας συμφύρσεων· εἶτα φωτίζεσθαι τῇ γνώσει τῶν θεοπνεύστων Γραφῶν τά περί (≡14E_230≡> θεογνωσίας δόγματα, καί τότε τελειοῦσθαι τῷ τῆς παλιγγενεσίας λουτρῷ.

Τούς μέν φωτίζεσθαι. Σημείωσαι, ὅτι τό φώτισμα πρό τοῦ βαπτίσματός ἐστιν.

Ἡ θεία μακαριότης

καθαίρει,	φωτίζει,	τελειοῖ,
διδάσκουσα,	ἀνάγουσα,	θεοποιοῦσα.

Ἡ θεία μακαριότης

κάθαρσις,	φωτισμός,	τελείωσις.

Τῆς θείας μακαριότητος

οἱ μέν ἱεράρχαι,		οἱ δέ ἱεραρχούμενοι,	
καθαίρουσι,	οἱ μέν φωτίζουσι,	οἱ δέ καθαίρονται,	οἱ δέ φωτίζονται,
τελειοῦσι.			τελειοποιοῦντα ι.

Νοός: Ἰωνικῶς ἐχρήσατο, ὁ νοῦς, τοῦ νοός, οἱ νόες· φασί γάρ οἱ Ἀττικοί, ὁ νοῦς, τοῦ νοῦ, καί πληθυντικῶς οἱ νοῖ, τῶν νῶν, καί νοισί.

§ 3. Καθαρτικούς: Ἐνταῦθα περί τῶν ἱεραρχῶν αὐτῶν φησι, τά πρό τούτων περί τῶν ἱεραρχουμένων εἰπών, παραδηλῶν καί τάς τάξεις· καί ὅπως οἱ μέν καθαρτικοί ὑποβεβήκασιν, ὡς οἱ ἐπορκισταί ὄντες· οἱ δέ φωτιστικοί ἐπαναβεβήκασι τῇ διδασκαλίᾳ, οἷον οἱ πρεσβύτεροι καί οἱ διάκονοι· οἱ δέ τελεσιουργοί, οἱ τῷ βαπτίσματι Πνεύματος πληροῦντες ἁγίου, ὡς οἱ ἐπίσκοποι. Λέγει δέ ταῦτα καί κάτω ἐν τῷ Περί ἐκκλησιαστικῆς ἱεραρχίας λόγῳ.

Φυσικῶς καί ὑπερφυῶς ἐνόντα: Ὅτι φυσικῶς καί ὑπερφυῶς ἔνεστι τά πρός σωτηρίαν φωτιστικά. Καλῶς δέ τήν τάξιν διεσάφησε τῆς ἐκκλησιαστικῆς ἱερουργίας, οἷον ἵνα πρῶτον οἱ προσιόντες τῷ θείῳ βαπτίσματι ἀποτάττωνται καθαιρόμενοι, εἶτα φωτίζωνται τῇ διδασκαλίᾳ τῶν πρεσβυτέρων εἰς τοῦτο πεποιημένων, τοιούτους δέ εἶναι τούς καθαρτικούς ἀξίους τοῦ (≡14E_232≡> μεταδοῦναι ἑτέροις ἁγιότητος, καί οὕτω λοιπόν τούς ἐπισκόπους βαπτίζειν· αὐτούς γάρ καλεῖ τελεσιουργούς. Ταύτην δεῖ τήν τάξιν φυλάττεσθαι.

ΕΙΣ ΤΟ ΚΕΦΑΛΑΙΟΝ Δ'

§ 1. Τό πρός κοινωνίαν: Σημείωσαι τόν λογισμόν δι' ὅν τά πάντα παρήγαγεν ὁ Θεός, ἵνα κοινωνήσωσι τῆς αὐτοῦ ἀγαθότητος ἀναλόγως ἕκαστον· τοῦτο γάρ δηλοῖ τό, «μοναί πολλαί παρά τῷ Πατρί»· ἕκαστος γάρ κατά τό ἴδιον ἔργον κοινωνήσει τῆς αὐτοῦ ἀγαθότητος· οὕτω καί Τίτος φησίν ἐν τοῖς Κατά Μανιχαίων λόγοις.

Ὄντων: Ἐνταῦθα πάντα συλλήβδην τά ἐν δημιουργίᾳ δηλοῖ διά τοῦ ὀνόματος τῶν ὄντων, καί νοητά καί ὁρατά πάντα· ἅπαντα γάρ ὁ Θεός ἐκ μή ὄντων ἐποίησεν, διά τοῦτο καί μόνον, ἵνα τῆς αὐτοῦ ἀγαθότητος ἀπολαύοιεν. Ἀπολαύουσι δέ διά τῆς προνοίας,

ὡς ἕκαστον ἐπιτηδείως ἔχει· ἀρχή γάρ ἐστι τῆς τῶν ὄντων οὐσίας ἡ τοῦ Θεοῦ πρόνοια.

Πάντα μέν οὖν τά ὄντα: Ὅτι πάντα τά ὄντα τῆς τοῦ Θεοῦ προνοίας μετέχει· οὐδέ γάρ οὔτε ἐν τοῖς οὖσίν ἐστι τό μή μετέχον τοῦ Θεοῦ· ὥστε ἀνυπόστατον τό κακόν, ἐπειδή μή μετέχει τοῦ Θεοῦ κατά στέρησιν ἕξεως φαινόμενον. Ἀλλ' οὐκ αὐτό, πρωτοτύπως ὄν ἐν οὐσίᾳ· οὕτω πλατέως εἴπομεν ἄνω ἐν τῷ προσφόρῳ κεφαλαίῳ.

Τῶν ὄντων

Ἤ ἄζωά εἰσιν, ἅ καλεῖ μόνον ὄντα, οἷον οὐρανοί καί γῆ	ἤ ζῶντα, ἅ λέγει ἀλόγως ζῆν, οἷον τά ἄλογα ζῶα·	ἤ νοερά ἀσώματα, ὡς τά οὐράνια·	ἤ λογικά καί ἐνσώματα, ἅ καλεῖ καθ' ἡμᾶς.

(≡14E_234≡> Οὐ γάρ ἄν ἦν: Ἐν τούτοις ὄντα τά θεῖα καλεῖ, τουτέστι τήν ἁγίαν Τριάδα, ἥτις, τῶν κτισμάτων οὖσα δημιουργός καί ἀρχή, ἤγουν αἰτία, ἐξ αὐτῶν τῶν παρ' αὐτῆς εἰς οὐσίαν ἐλθόντων μετέχεσθαι λέγεται.

Τά μέν οὖν ἄζωα: Ὅτι καί τά ἄζωα μετέχει τῆς προνοίας τοῦ Θεοῦ κατ' αὐτό τό εἶναι· ἄζωα δέ εἰσιν, οἷον λίθοι καί πάντα τά μή προϊόντα εἰς γένεσιν.

Ζῶντα τῆς αὐτῆς: Κατά κοινοῦ ἐπί ἑκάστου τῶν ἐπιφερομένων προσυπακούειν δεῖ, δι' ὧν προνοίας μετέχει.

Αἱ γοῦν ἅγιαι: Σημείωσαι δέ περί τῆς τάξεως τοῦ παντός, ὅτι διάφοροι αἱ τῶν ἄνω δυνάμεων οὐσίαι· λέγει δέ μόνον ὄντα ἅπερ ἐκάλεσεν ἄζωα.

Νοητῶς γάρ ἐπί τό θεομίμητον: Ὅρα ὅτι καί αἱ νοηταί δυνάμεις ἐκ προαιρέσεως κατά τό πλέον μετέχουσι τοῦ ἀγαθοῦ, ὡς πολύ ἐφιέμεναι αὐτοῦ· λέγει γάρ, ἑαυτάς ἀποτυποῦσαι, ὅπερ ἐστί προαιρετικόν· οὐκοῦν ψευδής ὁ λόγος ὁ λέγων τόν διάβολον πεσεῖν ἐκ τῶν οὐρανῶν· ἐτράπη γάρ εἰς τό κακόν ἀφ' ἑαυτοῦ, Προσεχεῖς δέ ἀντί τοῦ συνημμέναι.

Τῶν ὄντων

Τά μέν ἔστιν ἄλογα, ὡς λίθοι καί λοιπά τά μηδεμιᾶς ζωτικῆς ἐνεργείας μετέχοντα·	τά δέ ζῶντα, τά μέν ἀναίσθητα, ὡς τά φυτά, τά μέν ἄλογα, τά μέν ἀσώματα καί ὑπέρ ἡμᾶς,	ὧν, τά δέ αἰσθητικά, ὧν τά δέ λογικά· καί τούτων· τά δέ ἐνσώματα καί καθ' ἡμᾶς.	

Καί πολλαχῶς ἐν μετουσίᾳ: Αἱ γάρ αὐτῶν οὐσίαι νοῦς εἰσι ζῶν. Σημείωσαι δέ, ὅτι τά νοητά πάντα πρώτως μετέχει τοῦ Θεοῦ. Ἐκφαντορικαί δέ, τουτέστιν ἐξαγγελτικαί,

Τῆς ἀγγελικῆς ἐπωνυμίας: Σημείωσαι τί κυρίως ἄγγελος, καί ὅτι τήν πρώτην αὐτούς τάξιν λέγει ἔχειν· ἔτι δέ καί ὅπως δι' ἀγγέλων μυούμεθα, καί πῶς δι' αὐτῶν ὁ νόμος ἐδόθη, (≡14E_236≡> καί ὅτι καί τούς πρό τοῦ νόμου καί μετά νόμον πατέρας ἡμῶν ἄγγελοι πρός θεῖον ἀνῆγον.

Κλεινούς: Ἐνδόξους. Τό δέ πρακτέον, ὡς ἐπί Ἰησοῦ τοῦ Ναυῆ καί Γεδεών καί ἄλλων· πρός εὐθεῖαν δέ ὁδόν ἀπό ἀνιέρου ζωῆς, ὡς ἐπί τοῦ Κορνηλίου τοῦ ἑκατοντάρχου· πρῶτος γάρ ἐξ ἀπίστων ἐθνῶν μετετέθη· τάξεις δέ ἱεράς, ὡς ἐπί τοῦ Δανιήλ, «μυρίαι μυριάδες», καί τοῦ Ἰεζηκιήλ τά χερουβίμ, καί τοῦ Ἠσαΐου τά

σεραφίμ ὤφθησαν. Ὑποκοσμίους δέ ὁράσεις, ὡς ἐπί τοῦ Παύλου ἁρπαγέντος ἕως τρίτου οὐρανοῦ, καί ἐπί τῆς τοῦ θείου Ἰωάννου Ἀποκαλύψεως.

§ 3. Ἀμέσως: Τουτέστιν ἄνευ τῆς ἀγγέλων διακονίας.

Ὡς αὐτό ὅ τι ποτέ ἐστι: Ὅρα πῶς ἐξηγεῖται τό ρητόν τό λέγον, «Θεόν οὐδείς ἑώρακε πώποτε», ὅπερ ἀληθέστατον ἡγοῦμαι, καί εἰδώς ὅτι εἰσί γραφικά ρήματα λέγοντα, ὡς ὁ Θεός ὤφθη τοῖς ἀνθρώποις, ὡς ἐπί τοῦ Ἀδάμ, ὡς ἐν τῷ παραδείσῳ, καί ἐπί τοῦ Ἀβραάμ, ἐν τῇ δρυί τῇ Μαμβρῇ, καί ὅτε εἰς Σόδομα ἐπορεύοντο· καί τῷ Μωσεῖ εἰς τό ὄρος, εἰ καί τά ὀπίσθια λέγεται ἑωρακέναι· καί λέγει ὅτι αὐτό μέν τό κρύφιον τοῦ Θεοῦ οὐδείς ἑώρακεν, οὐδέ ὄψεται, ὅπερ ἐστίν οὐσία αὐτοῦ, ἤ καί ὑψηλότερον, ὅτι οὐδείς κατανοῆσαι καί φράσαι δύναται ἤ δυνήσεται, τί ἐστιν ὁ Θεός. Εἰ δέ καί ἐγένοντό τισι θεοφάνειαι τῶν ἁγίων, νόησον ὅτι ἀναλόγως ἕκαστος τῆς ἰδίας πίστεως ἠξιοῦτό τινος ὁράσεως ἐμφαινούσης αὐτῷ τό Θεῖον, δι' ἧς τήν ἔλλαμψιν ἐδέχετο τῶν εἰς αὐτόν ἐρχομένων θείων γνώσεων.

Ὡς ἐν μορφώσει: Οἶμαι, τήν μεταμόρφωσιν λέγει, ἤ τό ἐν τῷ Σιναίῳ ὄρει θαῦμα ὡς πῦρ.

(≡14E_238≡> Θεοφάνειαν: Θεοφάνειαν εἶναί φησιν οὐ διά τό φαίνειν τόν Θεόν καί δεικνύειν, ὅ τι ποτέ ἐστι, τοῦτο γάρ ἀμήχανον, ἀλλ’ ὅτι θείας ἐλλάμψεως οἱ ἅγιοι ἀξιοῦνται διά τινων ὁράσεων ἱερῶν καί αὐτοῖς ἀναλόγων, ἅς δι' ἀγγέλων γίνεσθαι λέγει.

Θεσμοθεσίαν: Σημείωσαι, ὅτι καί ὁ νόμος ἑτέρας θείας νομοθεσίας ὑποτύπωσίς ἐστι, τουτέστι τῆς κατά Χριστόν θείας ἐνανθρωπήσεως· ὅτι δέ δι' ἀγγέλων ἐδόθη ἡ πρώτη νομοθεσία, δηλοῖ καί ὁ ἅγιος Στέφανος λέγων· «οἵτινες ἐλάβετε τόν νόμον εἰς διαταγάς ἀγγέλων, καί οὐκ ἐφυλάξατε».

Αὐτήν: Τήν θεσμοθεσίαν δηλονότι.

Τό διά τῶν πρώτων: Σημείωσαι, πῶς διά τῶν πρώτων, τουτέστι τῶν ἀναβεβηκότων, τά δεύτερα (ἀντί τοῦ τά ὑποβεβηκότα) πρός Θεόν ἀνάγονται καί περί τῶν ἀγγελικῶν διατάξεων.

Ὑπερούσιον: Ὑπερούσιον ταξιαρχίαν τήν τῆς τάξεως αὐτῶν ἀρχήν καί ποιητικήν αἰτίαν ἔφη,

§ 4. Γαβριήλ: Σημείωσαι, ὅτι τά περί τῆς ἐνανθρωπήσεως πρῶτοι μυοῦνται ἄγγελοι, ὡς δηλοῖ τά κατά τόν θειότατον Γαβριήλ, μαθόντα τά περί τοῦ ἁγίου Ἰωάννου· εὐαγγελισάμενον δέ καί τῇ Παρθένῳ, ὅτι ἐκ Πνεύματος ἁγίου συλλήψεται σαρκούμενον τόν Θεόν Λόγον.

Ἀνδρικῆς: Ἀνδρική θεουργία ἡ Χριστοῦ ἐνανθρώπησις, καθ' ἥν Θεός ὤν ἐν σαρκί τά θεῖα εἰργάζετο, Σκόπει δέ, πῶς, εἰπών ἐνταῦθα τόν Ἰησοῦν 'ἀνδρικήν θεουργίαν', καί διά μέν τοῦ λέγειν 'ἀνδρικήν' δηλῶν, ὅτι τέλειος ἄνθρωπος γέγονε, διά δέ τοῦ 'θεουργίαν', ὅτι, Θεός καί ἔστι ἄνθρωπος, ὁ αὐτός τάς θεοσημείας ἐργασάμενος, μετά βραχύ λέγει, ὅτι ἀμετάβλητος· ἔμεινε γάρ καί ὅ ἦν ἀεί. Κἀκεῖνο δέ πάλιν ὅρα, πῶς φησιν ἐν τῇ ἁγίᾳ Θεοτόκῳ Μαρίᾳ γενέσθαι τῆς ἀρρήτου θεοπλαστίας τό (≡14E_240≡> θεαρχικόν

μυστήριον. Θεοπλαστίαν δέ λέγει, δηλῶν ὅτι Θεός ἐπλάσθη, καθ' ὅ γέγονεν ἄνθρωπος, ὡς τό εἰρημένον, «ὁ Λόγος σάρξ ἐγένετο». Θεαρχικόν δέ, ὅτι τοῦ Θεοῦ τοῦ αἰτίου καί ἀρχῆς ὄντος τῶν λεγομένων θεῶν, ἀγγέλων τε καί δικαίων ἀνθρώπων, τό μυστήριον τῆς ἐνανθρωπήσεως ἦν, ὅν Θεόν Ἰησοῦν προωνόμασε.

Τήν δέ Μαριάμ: Σημείωσαι ταῦτα κατά Νεστοριανῶν· οὐ πάντες δέ ἄγγελοι ἐθαρρήθησαν τό μυστήριον τῆς οἰκονομίας· ἐπεί, ὅτε ἀνελαμβάνετο ὁ Κύριος μετά τό πάθος, τινές ἦσαν οἱ λέγοντες, ὅτι «Τίς ἐστιν οὗτος ὁ Βασιλεύς τῆς δόξης;»· ἡ γάρ ἐρώτησις ἄγνοιαν ἐμφαίνει. Σημείωσαι κατά Νεστοριανῶν καί Ἀκεφάλων, ὅτι τόν Ἰησοῦν ὑπερούσιον αἰτίαν, φησίν, ἅτε ποιητήν ὄντα πάντων· καί ὅτι ἀμεταβόλως λέγει αὐτόν γεγεννῆσθαι καθ' ἡμᾶς· οὐχ ἡ αὐτή δέ καί μία ταῦτα φύσις, εἰ καί ὁ αὐτός τά δύο· καί ὅτι αὐτός καί νομοθέτης καί ὑπό νόμον, καί ὅτι καί αὐτός ὡς ἄνθρωπος δι' ἀγγέλων διετάττετο, ἔν τε τῇ εἰς Αἴγυπτον ἀναχωρήσει, καί ἐν τῇ ἐξ αὐτῆς ὑποστροφῇ, καί ὅτι αὐτός ἐστιν ὁ καί τῶν ἀγγέλων δημιουργός. Ὥστε εἰς καί αὐτός Χριστός ἐν δύο φύσεσι τό μέγα τῆς οἰκονομίας κατεπράξατο μυστήριον· εἴρηται γάρ· «ὅς, ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμόν ἡγήσατο τό εἶναι ἴσα Θεῷ, ἀλλ’ ἑαυτόν ἐκένωσε μορφήν δούλου λαβών». Ἰδού δύο μορφαί· ὅπερ γάρ φησιν ἐνταῦθα, οὐκ ἀποπηδᾷ, τοῦτό ἐστι τό, οὐχ ἁρπαγμόν ἡγήσατο, τοὐτέστιν οὐκ ἀπηξίωσεν ὡς ἄνθρωπος ὑπακοῦσαι καί ἀγγέλοις, εὐπειθῶς δέ ὑποτάττεται ταῖς τοῦ Θεοῦ καί Πατρός δι' ἀγγέλων ὑποτυπώσεσιν· αὐτός γάρ οὗτος ἔταξε τό ἀνθρώπινον γένος διέπειν.

Ἀμεταβόλως: Οὐ γάρ ἐτράπη τήν θείαν φύσιν.

(≡14E_242≡> Οὐκ ἀποπηδᾷ: Τά γάρ ὑπ' αὐτοῦ ταχθέντα, ἤγουν προορισθέντα, αὐτός ἐπ' ἐσχάτων ἀνέλαβε καί εἰς ἑαυτόν ἔδειξε.

Καί περί τοῦ ἀγγέλου: Ὅτι τό τοῦ ἐνισχύσαντος ἀγγέλου τόν Κύριον κεφάλαιον, ὅπερ ἐν τῷ κατά Λουκᾶν φέρεται, λέγει καί ὁ μέγας Διονύσιος, καί ὅτι ἀγράφως μᾶλλον ἐν μυστηρίῳ κρυφίως αὐτό παρεδόθη αὐτῷ καί τῷ ἁγίῳ Τιμοθέῳ ὑπό τοῦ ἀποστόλου Παύλου· τό γάρ αὐτοῦ κήρυγμα συνέγραψεν ὁ Λουκᾶς· δηλοῦται δέ τοῦτο, ὅτι ὡς ἐν μυστηρίῳ παρέλαβεν ἀπό τοῦ εἰπεῖν, «ταῖς ἱερατικαῖς ἡμῶν παραδόσεσιν ἐκπεφασμένα». Ὅρα δέ καί τήν ἄλλην ἑρμηνείαν, ἥτις φησί, τό γάρ εἰρῆσθαι παρά τῷ Ἠσαΐᾳ «τῆς μεγάλης βουλῆς ἄγγελον», ὀνομάζεσθαι τό γεννηθέν παιδίον τῇ σαρκί αὐτοῦ πρέπειν φησί, καί διά τί ἐκλήθη ἄγγελος, ὅτι τήν τοῦ Πατρός βουλήν ἀνήγγειλαν ἡμῖν· σώσας γάρ ἡμᾶς διά τοῦ οἰκείου πάθους, ἔδειξεν, ὅτι καί ὁ Πατήρ ταύτης ἦν τῆς βουλῆς· οὔτε γάρ ὡς ὑποβεβηκώς τοῦ Πατρός ἐκλήθη ἄγγελος· πρός Ἀρειανούς τοῦτο. Τό τοῦ ἐνισχύσαντος ἀγγέλου κεφάλαιον μή παρά τήν ἑρμηνείαν δέξῃ τῆς ἁγίας Γραφῆς· πρός γάρ τήν σάρκα ὀφείλει τοῦτο νοεῖσθαι· καί ἀλλαχοῦ γάρ φησι τό Εὐαγγέλιον, μετά τούς πειρασμούς, ὅτι προσελθόντες ἄγγελοι διηκόνουν αὐτῷ· καί ὅτι ἐκοπίασεν ἐκ τῆς ὁδοιπορίας καί ὅτι ἐπείνησε· ταῦτα γάρ πάντα δείκνυσιν, ὅτι τέλειον ἀνέλαβεν ἄνθρωπον μετά τῶν αὐτοῦ παθημάτων. Ἀλλ' ἐρεῖ τις, ποῦ χρεία ἦν ἀγγέλου θειότητος

παρούσης; Λέγομεν οὖν ὅτι τά πλείω ὁ Θεός δι' ἀγγέλων θαυματουργεῖ· καί τοῦτο λέγει πᾶσα ἡ θεία Γραφή.

Ἐκφαντορικήν: Κατά τό πρός τόν Πατέρα ὑπ' αὐτοῦ λεχθέν, «ἐφανέρωσά σου τό ὄνομα τοῖς ἀνθρώποις».

ΕΙΣ ΤΟ ΚΕΦΑΛΑΙΟΝ Ε'

(≡14E_**244**≡> Τάς οὐρανίας οὐσίας: Τί δήποτε, μιᾶς οὐσίας εἶναι πάντας ἁγίους τούς ἀγγέλους λεγούσης τῆς Ἐκκλησίας, ὁ θεῖος Διονύσιος πολλάς ὀνομάζει δυνάμεις; Ὁ γοῦν μέγας Διονύσιος, ὁ Αλεξανδρείας ἐπίσκοπος, ὁ ἀπό ρητόρων, ἐν τοῖς σχολίοις οἷς πεποίηκεν εἰς τόν μακάριον Διονύσιον τόν αὐτοῦ συνώνυμον, οὕτω λέγει, ὅτι ἀγέννητον εἴωθε καλεῖν ἡ ἔξω σοφία πᾶσαν ἀόρατον φύσιν, ὁμοίως καί οὐσίας τάς ὑποστάσεις· κἀκ τούτου φησίν, ὅτι κατά τούς ἔξω εἴρηνται τῷ ἁγίῳ Διονυσίῳ αἱ τοιαῦται φωναί καταχρηστικῶς.

Ἐκφαντορίαν: Τουτέστι τήν ἔκφασιν, ἤτοι διασάφησιν.

Ὀνομάζουσι: Τήν ἐσχάτην τῶν νοητῶν τάξιν κυρίως ἀγγέλους φησί προσαγορεύεσθαι, τάς δέ ὑπερβεβηκυίας ἑτέρως, ὧν ἑνίας καί ὀνομάζει· ἐν δέ τῷ ἑξῆς κεφαλαίῳ τῶν ἐννέα ταγμάτων μυστικῶς ἀπομνημονεύει· νῦν δέ τελέως λέγει, ὅτι αἱ ἀνώτεραι τάξεις ἐπίστανται μέν ὅσα αἱ ὑποβεβηκυῖαι δι' ἐλλάμψεως μεμύηνται, γινώσκουσι δέ καί ἕτερα ταῖς ὑποκειμέναις ἄγνωστα· εἰ δέ καί οὕτως ἐστίν, ὅμως γενικῷ ὀνόματι καί ἄγγελοι ἔσθ' ὅτε καλοῦνται πάντα τά νοητά τάγματα. Φησί δέ καί διά τί, ὡς ἐν τῷ ἑκατοστῷ δευτέρῳ ψαλμῷ· «εὐλογεῖτε τόν Κύριον, πάντες οἱ ἄγγελοι αὐτοῦ»· καί ἐν τῷ ἑκατοστῷ τρίτῳ· «ὁ ποιῶν τούς ἀγγέλους αὐτοῦ πνεύματα», καί τά ἑξῆς. Οὐκ ἀντιστρέφει δέ ὁ λόγος· τά γάρ ὑποβεβηκότα οὐκ ὀνομάζεται τῷ τῶν ἀνωτέρων γνωρίσματι, καί ὅτι διά τῶν ὑπερβεβηκυιῶν δυνάμεων αἱ ὑποβεβηκυῖαι μυσταγωγοῦνται.

Ἀποπερατοῦσαν: Τουτέστι τήν ἐσχάτην τάξιν τῶν ἀγγελικῶν διατάξεων.

Φαμέν δέ: Ἐρωτήσειεν ἄν τις· Αὗται αἱ τῶν οὐρανίων τάξεις, (≡14E_**246**≡> αἱ ὑπερβεβηκυῖαι, καί κατώτεραι, καί ἔτι ὑφειμέναι οὕτως ἐγένετο, ὥστε τήν μέν ἀνωτέραν εἶναι, τήν δέ κατωτέραν; Καί λέγομεν, ὅτι καί τά νοητά πάντα αὐτεξούσια ἐδημιούργησεν ὁ Θεός· εἰ γάρ ὁ ἄνθρωπος αὐτεξούσιος ἐγένετο, ἐκ χοϊκοῦ φυράματος καί ψυχῆς ὑπάρχων, πόσῳ μᾶλλον αἱ νοηταί δυνάμεις, αἱ μηδέν ἔχουσι γεῶδες ἤ βαρύ, αὐτεξούσιοι ἐγένοντο; Τοῦτο γάρ καί ἡ θεία παρίστησι Γραφή, λέγουσα, τόν διάβολον ἐξ ἀγγελικῆς ἑκουσίως ἐκπεσεῖν τάξεως· καί οὗτος δέ ὁ θεῖος ἀνήρ πρό δύο φύλλων περί ἀγγελικῶν δυνάμεων· ὅτι νοητῶς γάρ ἐπί τό θεομίμητον ἑαυτάς ἀποτυποῦσαι καί πρός τήν θεαρχικήν ἐμφέρειαν ὑπερκοσμίως ἀρῶσαι καί μορφοῦν ἐφιέμεναι τό νοερόν αὐτῶν εἶδος, ἐξ ὧν πάντων δείκνυται, ὡς αὐτοπροαίρετοι καί αὐτεξούσιοί εἰσιν αἱ νοηταί δυνάμεις. Εἰκότως οὖν φησιν, ὅτι ἑκάστη πρός τήν ἀναλογίαν τῆς ἰδίας τοῦ ἀγαθοῦ ἐφέσεως ἐλλάμπεται θείας κατανοήσεις· διά τοῦτο καί τάξεις καλοῦνται, βαθμηδόν, ὥσπερ τῆς ἐν αὐταῖς ἐφέσεως οὔσης. Διά τοῦτο ἐνταῦθα, φησίν, οὐκ ἔχει

λόγον, τήν τελευταίαν τάξιν σεραφίμ ἤ θρόνους ὀνομάζειν. Σημείωσαι δέ διά τί καλοῦνται πάντα τά τάγματα ἄγγελοι· ὅτι οἱ κυρίως ἄγγελοι ἀνάγουσι τούς ἱερούς ἀνθρώπους ἐπί τάς ἐγνωσμένας αὐτοῖς θείας αὐγάς.

Ἀλλ ' ὥσπερ αὕτη: Ἡ τῶν ἀγγέλων δηλαδή τάξις.

Τούς καθ' ἡμᾶς: Τῶν ἐποπτικωτάτων μυστηρίων τούτων ἐμφορηθείς ὁ ἱερός Διονύσιος, ἐκκαλύπτει λέγων, ὡς ἡ μέν τελευταία τάξις, ἡ καλουμένη ἄγγελοι, τούς ἐν ἀνθρώποις ἱεράρχας τῶν Ἐκκλησιῶν παιδαγωγικῶς χειραγωγοῦσιν ἐπί τήν πρός Θεόν ἀναγωγήν, τήν δέ κατωτέραν τάξιν αὐτήν, τήν ἡμῶν παιδαγωγόν, καί τάς βαθμηδόν ὑπερκειμένας αἱ ἀνώτεραι ὡς ὑποβεβηκυίας μυσταγωγοῦσι.

Τῆς ἀποκληρούσης: Τουτέστι τῆς τελευταίας, τῆς τῶν ἀγγέλων φημί. Σημείωσαι δέ, ὅτι δοξάζει κοινάς εἶναι πάσας τάς ὀνομασίας τῶν ἐννέα ταγμάτων, ἑκάστου τάγματος, διά τό κοινῶς (≡14E_248≡> ἐλλάμπεσθαι ἐκ τοῦ θεοειδοῦς εἰς τήν ἐκ Θεοῦ φωτοδοσίαν, εἰ καί μή ὁμοίως. Ἔστι, φησί, κοινῶς ὀνομάσαι πάσας τάς νοεράς καί ἀσωμάτους τάξεις καί καθ' ἕτερον τρόπον, τουτέστι κατά τό θεοειδές, ὅπερ ἐστί κατά τό τῷ Θεῷ ἐοικέναι· καθ' ὅσον ἐφικτόν ἑκάστῃ αὐτῶν· ὥστε πάσας μέν τάς ὑπέρκοσμίους τάξεις θεοειδεῖς καλεῖσθαι, καί ἑτέραν δέ κοινωνίαν ἔχειν πάσας αὐτάς τήν τῆς φωτεινοτάτης ἐλλάμψεως ἐκ Θεοῦ δωρεάν, κἄν πρός τό ἑκάστη ἐφικτόν ἤ ἐπ' ἔλαττον ἤ ἐπί πλεῖον ἡ ἔλλαμψις δίδωται. Ἐν δέ τῷ Περί θείων ὀνομάτων λόγῳ φησίν, ὅτι θεῖοι μόνοι λέγονται οἱ παντός τάγματος ταξίαρχοι.

Ἰδιότητας: Σημείωσαι πῶς ἰδιότητας λέγει τάς ἑκάστης τάξεως ἀναλογίας.

ΕΙΣ ΤΟ ΚΕΦΑΛΑΙΟΝ S'

§ 1. Μόνην ἀκριβῶς: Ὅτι μόνος ὁ Θεός, ὁ καί θεοποιῶν αὐτούς, οἶδεν ἀκριβῶς αὐτούς τε καί τάς αὐτῶν λειτουργίας, καί αὐτοί δέ ἴσασιν αὐτούς καί τά ἑαυτῶν. Ἡμεῖς γάρ οὐδέν ἀκριβῶς τῶν κατ' αὐτούς ἐπιστάμεθα, εἰ μή ὅσα ἐκ τῆς θείας ἐδιδάχθημεν Γραφῆς.

Ἐννέα: Σημείωσαι, ὅτι ἐννέα εἰσί τάγματα θεῖα τῶν νοητῶν.

§ 2. Ἱεροτελεστής: Ἱεροτελεστήν μέν οἰκεῖον εἴωθε καλεῖν ἤ τόν θειότατον ἀπόστολον Παῦλον, ἤ τόν ἅγιον Ἱερόθεον, ὡς ἐν τῷ Περί θείων ὀνομάτων ἐλέχθη λόγῳ· νῦν δέ οὐδένα ἕτερον ἡγοῦμαι λέγειν αὐτόν, ἤ τόν ἅγιον Παῦλον· οὐδενός γάρ ἦν ἄλλου ἤ αὐτοῦ τοῦ ἄχρι τρίτου οὐρανοῦ φθάσαντος καί τά περί τούτων μυηθέντος.

Πρώτη τριαδική τάξις.

Θρόνοι, χερουβίμ, σεραφίμ.

Προσεχῶς: Περί τοῦ Θεῷ ἐγγίξοντος πρώτου τῶν ἱερῶν ταγμάτων.

(≡14E_250≡> Ἁγιωτάτους: Τήν πρώτην τριαδικήν ταύτην καί θεοειδῆ ταξιαρχίαν ἔστι τόν νουνεχῶς καί ἀξίως Θεοῦ κατοπτεύοντα καταλαβεῖν ἀπό τε τοῦ Ἰεζεκιήλ, ὅς φησι θρόνον πρῶτον, ἐφ' οὗ ὤφθη ὁ Θεός, εἶτα εὐθύς ἐχόμενα τά θεῖα χερουβίμ· παρά δέ τῷ Ἠσαΐα τά ἁγιώτατα σεραφίμ κύκλῳ ἱστάμενα τοῦ Θεοῦ

θεωροῦντα. Ταῦτα δέ δηλοῖ τήν ὑπέρ πάντας ἀνωτάτω παρά τόν Θεόν αὐτῶν λῆξιν· σαφηνίζεται δέ ταῦτα σχεδόν παραπλησίως καί ἐν τῇ Ἀποκαλύψει τοῦ ἁγίου Ἰωάννου, τοῦ ἀποστόλου, εὐαγγελιστοῦ καί θεολόγου.

Ἀμέσως: Ἀμέσως εἴρηται, ἐπειδή οὐκ ἔστιν ἄλλο τάγμα πρό αὐτῆς. Σημείωσαι δέ, ὅτι τούς θρόνους, ἤτοι τά πολυόμματα καί τά πολύπτερα χερουβίμ καί σεραφίμ λέγει ἀνωτέρας εἶναι πασῶν δυνάμεις καί τῆς μιᾶς τριαδικῆς ἱεραρχίας.

Ὁ κλεινός: Τόν ἅγιον Παῦλον αἰνίττεται.

Ἐξουσιῶν: Τάς ἐφεξῆς δύο τριαδικάς τῶν νοητῶν ἁγίας ταξιαρχίας κάτωθεν εἰς ἄνω καταλέγει· πρῶται γάρ εἰσιν αἱ κυριότητες, εἶτα ἑξῆς αἱ δυνάμεις, εἶτα αἱ ἐξουσίαι. Αὐτός δέ τάς ἐξουσίας πρώτας τάξας, μέσας ἔλαβε τάς κυριότητας, καί τῆς τρίτης λειτουργικῆς τριάδος πρῶται αἱ ἀρχαί, εἶτα λοιπόν οἱ ἀρχάγγελοι, καί τό τελευταῖον ἄγγελοι. Νῦν οὖν οὐχ οὕτως αὐτῶν ἐμνημόνευσεν ἐν τῷ ἑξῆς κεφαλαίῳ, ἀλλά κάτωθεν εἰς ἄνω λαβών ὠνόμασεν. Ὁ μέν οὖν Ἀπόστολος ἔν τε τῇ πρός Ρωμαίους καί ἐν τῇ πρός Ἐφεσίους μέμνηται ἐνίων ἀγγελικῶν ταγμάτων, οὐ ταύτην δέ τήν τάξιν ὑφηγεῖται. Δηλοῖ δέ ὁ μέγας Διονύσιος, ὅτι ἐν μυστηρίῳ ταῦτα παρέδωκε τοῖς ἁγίοις ὁ θεῖος Ἀπόστολος.

ΕΙΣ ΤΟ ΚΕΦΑΛΑΙΟΝ Ζ'

§ 1. Πάλιν ἡ ἐπιγραφή κάτωθεν ἐπί τά ὑπέρτερα ἄνεισι (≡14E_252≡> τά γάρ τρίτα σεραφίμ, τά δέ δεύτερα χερουβίμ, καί τά πρῶτα θρόνοι. Ἀντιστρόφως οὖν ἐπέγραψεν.

Ἐπωνυμία: Σημείωσαι, ὅτι πᾶν ὄνομα τῶν ἱερῶν σημασίαν περιέχει τῆς τοῦ τάγματος ἰδικῆς ἐνεργείας, ὡς τῶν ἁγίων σεραφίμ καί χερουβίμ τῶν ὀνομάτων αἱ ἑρμηνεῖαι δηλοῦσιν, ἐπειδή οὐκ ἔστιν ἄλλο τάγμα πρό αὐτῆς.

Θεοφανείας: Εἰς γάρ τούς πρώτους ἐργάζονται, ἐνεργούμεναι αἱ πρῶται θεοφάνειαι.

Ἐκφαντορικῷ: Ἀντί τοῦ ἑρμηνευτικῷ καί παραστατικῷ.

Θεοειδῶν: Ἐπειδή θεοειδεῖς ἕξεις φησίν ἐπί τῶν θείων νοῶν, οὐ χρή ὑπολαμβάνειν τόν μέγαν Διονύσιον τάς ἀρετάς ταύτας τάς νοητάς ὡς συμβεβηκός, ἅτε καί ἐφ' ἡμῶν αὐτῶν προσγίνεσθαι λέγειν, ὡς ἄλλη ἐν ἄλλῳ ὑποκειμένῳ, οἱονεί ποιότητα προσγινομένην· τό γάρ συμβεβηκός καί ὑποκείμενον ἐκεῖθεν ἀπελήλαται, ὅτε καί πᾶσα σύνθεσις καί τό τῆς ὕλης ἄμορφον ἐκεῖθεν ἐξώρισται. Εἰ γάρ ἦν ἄλλο ἐν ἄλλῳ, οἷον συμβεβηκός ἐν ὑποκειμένῳ, οὐκ ἄν ἔζη καθ' ἑαυτήν ἡ οὐσία ἐκείνη, οὐδέ θεοῦσθαι καθ' ἑαυτήν ὡς ἐφικτόν ἠδύνατο, διά μόνην τάξιν τήν ὡς ἄλλο ἐν ἄλλῳ φυλαττομένην· αἱ οὖν ἐν αὐτοῖς εἰρημέναι ἕξεις αὐτουσιωμέναι εἰσίν, οὐ μήν ὡς συμβεβηκός ἐν ὑποκειμένῳ, διά τό ἄϋλον. Ὅθεν ὁ μέγας Διονύσιος κάτωθεν ἐν τῷ Περί τῆς ἐκκλησιαστικῆς ἱεραρχίας λόγῳ κεφαλαίῳ τετάρτῳ οὐσιώδεις φησίν εἶναι τάς ἕξεις τάς ἐν αὐτοῖς.

Ἕξεων: Σημειωσαι, ὅτι αἱ θεῖαι δυνάμεις καθ' ἕξιν ἔχουσι τό θεοειδές. Ἕξις δέ ἐστι ποιότης ἔμμονος.

Ἐντεῦθεν οὖν δηλοῦται, ὅτι αὐτεξούσιοί εἰσιν ἕξει τάς ἀρετάς κτώμεναι. Τοῦτο πλατύτερον παριστᾷ Ἄμμων ὁ Αδριανουπολίτης, (≡14E_254≡> ἐν τοῖς Περί ἀναστάσεως αὐτῷ κατά Ὠριγένους γεγραμμένοις λόγοις.

Ὑψηλοτάτων: Διά τί λέγονται θρόνοι.

Περιπεζίας: Ἀντί τοῦ, τῆς πρός τό χθαμαλόν βάσεως. Σημείωσαι δέ, τίς ὁ σκοπός πάσης ἱεραρχίας.

Ὑφέσεως: Ἀνωτάτην τινά φύσιν καί μετά Θεόν εὐθύς ὑπ' αὐτοῦ τεταγμένην δηλοῖ τούς θρόνους, οὐδέν ἐπί τά ὑλικά προσέχοντας, ὡς σημαίνει τό μηθέν αὐτούς ἔχειν περιπεζίας ὑφέσεως, ἤτοι ἐνδόσεως, καί τῆς πρός τό κάτω νεύσεως, ἀλλά τό ἐπί Θεόν ἀναβατικόν, ἀνωφερῶς προσέχον. Καλῶς δέ ἐπήγαγεν 'ὑπερκοσμίως', ἀντί τοῦ ἀσωμάτως καί ἀΰλως καί νοητῶς, ἤτοι νοερῶς· ἵνα γάρ μή νομίσῃς τό ἄναντες ὁδόν εἶναι σωματικήν, ἐπήγαγε τό ἀΰλως.

Θεοφόρον: Σημειωσαι, ὅτι καί τό τῶν ἁγίων θρόνων τάγμα 'θεοφόρον' εἶπεν, ὡς φέρον ἐπαναπαυόμενον νοητῶς τόν Θεόν. Ὅρα οὖν, ἐπειδή ὁ μακάριος Βασίλειος ὁ Καππαδόκης τήν θεοφόρον εἶπε σάρκα, σκοπητέον πῶς εἴρηται. Ἀλλ' ἡ μέν σάρξ αὐτοῦ τοῦ Κυρίου κατ' οὐσίαν καί καθ' ὑπόστασιν ἥνωται αὐτῷ τῷ Θεῷ Λόγῳ, διό καί σαρκοφορεῖν αὐτός λέγεται παρά τῶν Πατέρων καί σάρκα ἐνδύσασθαι· τί ἄτοπον οὖν εἰ καί ἡ σάρξ αὐτοῦ λέγεται θεοφόρος, ὡς φέρουσα τόν Θεόν Λόγον καθ' ἕνωσιν ἀδιάστατον, αὐτοῦ καί σάρξ καί λεγομένη ὑπάρχουσα κυρίως καί κατά ἀλήθειαν; Οὗτοι δέ κατά χάριν ἔχοντες ἐν ἑαυτοῖς τόν Θεόν ἀρρήτῳ τε λόγῳ καί ἀνεννοήτῳ τῇ διανοίᾳ θεοφόροι (α'.) καί αὐτοί διά τοῦτο λέγονται, ὅτι πρώτως μετέχουσιν αἱ πρῶται δυνάμεις τοῦ Θεοῦ, καί οὕτω μεταδιδόασι ταῖς ὑποδεεστέραις τήν γενομένην εἰς αὐτάς ἔλλαμψιν.

§ 2. β'. Ταῖς πρώταις: Οὕτω τήν καθ' ὑπέρβασιν ἀνάγνωσιν νοητέον· ταῖς πρώταις οὐσίαις οἰκείαν οἰητέον εἶναι ἱεραρχίαν τήν ὁμοειδῆ αὐταῖς κατά πάντα, τά δέ λοιπά διά μέσου.

(≡14E_256≡> Ἀοράτου: Σημείωσαι, ὅτι πάσης ἀοράτου καί ὁρατῆς δυνάμεως μείζους εἰσίν αἱ πρῶται τρεῖς αὗται τάξεις.

γ'. Γεγονυίας: Τουτέστι κτιστῆς.

Φαντασιῶν: Ὅτι πάσης φαντασίας προσύλου ἀνεπίδεκτοί εἰσι καί ἀμιγεῖς πάσης ὑφέσεως, ὅτι οὐ μόνον αἱ θεῖαι δυνάμεις αὐταί κηλίδων καί μολυσμῶν ἠλευθέρωνται, ἀλλά καί πάσης ἐλαττώσεως καί τήν ἐπί τά χείρω μείωσιν οὐδ' ὅλως εἰδυῖαι. Τοῦτο δέ νόησον, οὐχ ὅτι κατά φύσιν ἄτρεπτοί εἰσιν, ἀλλ' ὅτι, αὐτοπροαίρετοι οὖσαι διά τῆς εἰς τό ἀγαθόν ἄγαν ἐφέσεως, ἐπί τό Θεῖον ρέψασαι ἔμειναν οὕτως, ἕξιν ὥσπερ ἔχουσαι τό ἀμετακίνητον. Μόνος γάρ κατά φύσιν ἄτρεπτος ὁ Θεός, αὗται δέ, εἰ οὕτως ἐδημιουργήθησαν, οὐκ ἄν ἐξέπιπτεν ὁ διάβολος. Ἀλλά καί αὗται πᾶσαι μιᾶς καί ἴσης τάξεως· τό γάρ ἐκ φύσεως ἀγαθόν ὑπόβασιν οὐκ ἔχει.

δ'. Ταυτοκινήτου: Ταυτοκίνητόν φησιν ὁ ἅγιος οὗτος εἶναι τήν κίνησιν αὐτῶν, ὡς ἀπαράλλακτον καί ἀμετάβολον, ὡσαύτως δέ ἔχουσαν. Κινήσεις δέ εἰσιν ἐπ' αὐτῶν αἱ ἄπαυστοι περί τάς

νοήσεις ἐνέργειαι· νόες γάρ εἰσιν ἀσίγητοι. Καί σημείωσαι τό κατά τό φιλοθέως ἄτρεπτον, καί ἀνάγνωθι τό τέταρτον κεφάλαιον τοῦ Περί θείων ὀνομάτων λόγου, καί τό ὄγδοον κεφάλαιον τοῦ παρόντος λόγου.

ε'. Θεωρητικάς: Σημείωσαι πῶς λέγονται θεωρητικαί αἱ ἅγιαι τάξεις αὗται, καί ὅτι οὐ διά συμβόλων ἤ θεωρημάτων τῆς Γραφῆς τήν θεογνωσίαν κτῶνται, ὡς ἡμεῖς.

στ'. Νοερῶν θεωρούς: Θεωροί λέγονται οἱ τῶν μυστηρίων ἐπόπται· ταῦτα δέ τοῖς ἁγίοις διά τῶν συμβολικῶς λεγομένων περί Θεοῦ αἰσθητῶν ἐκκαλύπτονται, ὅπερ ἐπί τῶν ἄνω δυνάμεων οὐκ ἔστιν ἐννοεῖν.

Θεωρίας: Σημείωσαι τήν εἰρημένην τριφανῆ θεωρίαν ἀντί τοῦ τρισυπόστατον μίαν θεότητα.

(≡14E_258≡> Ἰησοῦ: Ἰησοῦ κοινωνίαν τήν μετοχήν τῆς δόξης καί τῆς ἀρρήτου λαμπρότητος τοῦ σώματος τοῦ Χριστοῦ λέγει· μετά σαρκός γάρ συνεδρεύει τῷ Πατρί.

Ἐν εἰκόσι: Τό δέ εἰρημένον ἐν εἰκόσιν ἀποτυποῦσι τήν ὁμοίωσιν, δέον εἰπεῖν ἀποτυπούσαις, μηδείς ὑπολάβοι σόλοικον, ὡς ἀγνοήσαντος τοῦ μεγάλου Διονυσίου, ἀλλ' ἀκριβῶς ἴστω, ὅτι καί τοῦτο ὡς τῷ ὄντι Ἀθηναῖος καί λίαν Ἀττικός οὕτω φησίν. Ἀττικῶν γάρ ἐστι τό μετοχάς ἀρσενικάς θηλυκοῖς συντάττειν, ὡς καί Ὅμηρος ποιεῖ τήν Ἶριν ἐκ Διός λέγουσαν πρός τήν Ἥραν καί τήν Ἀθηνᾶν·

Οὐκ ἔτ' ἐφ' ὑμετέρων ὀχέων πληγέντε κεραυνῷ.

Ἄψ ἐς Ὄλυμπον ἵκεσθον.

Ἔδει γάρ ἀντί τοῦ πληγέντε, ἀρσενικοῦ ὄντος δυϊκοῦ, εἰπεῖν πληγείσα, δυϊκόν θηλυκόν. Καί τοῦτό φασι καί κωμικοί, θηλυκόν ἀντ' οὐδετέρου, ὡς ἀρσενικόν κατά θηλυκόν, καί Πλάτων καί Εὐριπίδης ἐν Βάκχαις·

Διανεύων δρομάσι βλεφάροις,

Τό βλέφαρον γάρ δρομάς οὐκ ἄν τις εἴποι. Καί ἐν Ὀρέστη·

Μανιάσι λυσσήμασι.

Θεουργικήν: Σημείωσαι, ὅτι ἡ πρός τόν Κύριον Ἰησοῦν ὁμοίωσις θεουργική ἐστι, τουτέστιν ἐργάζεται θεούς τούς ὁμοιουμένους· καί πῶς ἀμέσως καί δίχα συμβόλων αἱ τάξεις αὗται ὁμοιοῦνται Χριστῷ, παρ' αὐτοῦ τοῦτο λαβοῦσαι.

Πρωτουργῷ: Σημείωσαι, ὅτι καί πρωτόκτιστοί εἰσι δυνάμεις (≡14E_260≡> αὗται, καί τάς ἀρετάς τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ ὡς δυνάμεις αὗται ἔχουσι.

Τετελεσμένας δέ: Σημείωσαι, πῶς λέγονται τετελεσμέναι αἱ θεῖαι δυνάμεις αὗται.

Ἀναλυτικήν: Τήν τῶν ποικιλιῶν ἐπιστήμην φησί τήν ἑρμηνευτικήν καί σαφηνιστικήν ἐξήγησιν τῆς περιπεπλεγμένης ἱερᾶς παραδόσεως, ἧς δέονται καί αἱ ὑφειμέναι τάξεις, ὡς ἐφεξῆς φησι, πολλῷ δέ πλέον ἄνθρωποι· δίχα γάρ ἐξηγήσεων ἀναλυουσῶν τήν πολυποίκιλον σοφίαν τῶν ἁγίων θεωρημάτων οὐ δυνατόν αὐτά νοῆσαι, οὔτε ἡμᾶς, οὔτε τά ὑπερβεβηκότα τάς πρώτας τρεῖς τάξεις. Ὅθεν φησίν, ὡς τῶν μέν ὑποβεβηκυιῶν τάξεων ἑκάστη ἡ πρώτη ἱεραρχεῖ μόνον καί οὐκ ἄλλη δύναμις, τῆς δέ τῶν ἀνωτάτω τούτων

διακόσμων ἱεραρχίας ὁ Θεός ἱεραρχεῖ μόνος, καί οὐκ ἄλλη δύναμις.

Ἱεραρχούμεναι: Τουτέστι μυσταγωγούμεναι.

Τοῦτο γοῦν: Ἀποδείξεις γραφικαί τῶν εἰρημένων.

§ 3. Ἐκδιδάσκεσθαι: Σημείωσαι τό ἐκδιδάσκεσθαι· δηλοῖ γάρ μή κατά φύσιν εἶναι αὐτάς τοιαύτας.

Τάς δέ πασῶν ὑψηλοτέρας: Ἐπειδή γάρ πασῶν ἀνώτεραί εἰσι καί οὐδέν ἔχουσι τό ὑπέρτερον, ὅσον εἰς ἑτέρας δυνάμεις, εἰκότως ὑπ' αὐτοῦ τοῦ Θεοῦ μόνου πρῶται ὡς ἀνώτεραι μυοῦνται τήν θείαν γνῶσιν.

Εἰς οὐρανούς: Σημείωσαι κατά Βασιλειανῶν, ἤτοι Νεστοριανῶν, ὅτι ὁ ἀναληφθείς καθ' ὅ ἄνθρωπος Ἰησοῦς Χριστός, αὐτός ἐστιν ὁ Κύριος τῶν νοητῶν πάντων καί βασιλεύς τῆς δόξης, ὡς μυούμενοι μανθάνουσι παρά τῶν λεγόντων, «ἄρατε πύλας, οἱ ἄρχοντες, ὑμῶν”, καί πυνθανόμενοι, «τίς ἐστιν οὗτος ὁ Βασιλεύς τῆς δόξης;”, καί αὖθις ἀκούοντες, «Κύριος τῶν δυνάμεων» (≡14E_262≡> καί τά ἑξῆς. Κατά δέ Ἀκεφάλων καί Εὐτυχιανιστῶν, ὅτι, κἂν Κύριος δυνάμεων, ἀλλ’ οὖν σάρξ καί σαφής ἄνθρωπος, ὡς καί πρός τό ξένον ἐκπλήττεσθαι τάς ἑξῆς ἀρχάς.

Θεουργίας: Καλῶς θεουργίαν ἐκάλεσε τήν ὑπέρ ἡμῶν οἰκονομίαν· Θεοῦ γάρ ἦν ὡς ἀληθῶς ἔργα πάντα τά κατά οἰκονομίαν τοῦ Κυρίου· ὁ τόκος ὁ ἅγιος καί ἰάσεις, τά ἐπί τῷ πάθει σημεῖα καί ἡ ἀνάστασις.

Ἐγώ γάρ φημι: Τά δέ, «ἐγώ γάρ διαλέγομαι δικαιοσύνην καί κρίσιν σωτηρίου», Ἠσαΐου εἰσί· καί ὅρα πῶς ταῦτα νενόηκεν.

Ἄγαμαι δέ: Τό ρητόν οὕτω συνθετέον· θαυμάζω πῶς αἱ πρῶται ὡς μέσαι τῶν θεαρχικῶν ἐλλάμψεων εὐλαβῶς ἐφίενται.

Μεσοπετεῖς: Μεσοπετεῖς ἔφη, ὡς μή πρός τό ἄκρον τοῦ ὕψους ἀνιπταμένας, ἀλλά τοῦ μέσου ἐφικνουμένας· τό δέ διαπορεῖν σημαίνει τό λέγειν, «τίς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδώμ;».

Ἐρωτῶσιν: Ὅρα μετά πόσου φόβου καί εὐλαβείας αἱ πασῶν ἀνώταται τάξεις, ὡς μέσαι, καί οὐχί πρώτισται, ἐρωτῶσιν ἀλλήλας, πρῶτον τά παρά τῷ Ἠσαΐα, «τίς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδώμ; ἐρύθημα ἱματίων αὐτοῦ ἐκ Βοσόρ», καί τότε, ὥσπερ ἐπιτρεπόμεναι παρά Θεοῦ, πρός αὐτόν λέγουσι· «Διά τί σου ἐρυθρά τά ἱμάτια;».

Παναγεστάτης καθάρσεως: Σημείωσαι πῶς φησι καθαίρεσθαι καί φωτίζεσθαι καί τελεσιουργεῖσθαι τάς θείας τάξεις.

Τῆς καθάρσεως: Σημείωσαι τίς ἡ κάθαρσις ἐπί τῶν νοῶν, καί τίς ἡ ἄγνοια.

Ἁπλέτου φωτός: Ἁπλετον τό μέγα καί πολύ.

Τελεσιουργεῖται: Σημείωσαι πῶς καθαίρονται καί φωτίζονται καί τελεσιουργοῦνται αἱ θεῖαι τάξεις αὗται.

(≡14E_264≡> Καθ' ἕξιν: Καθ' ἕξιν ἐπιστήμη ἐστίν ἡ ἔμμονος καί ἀναπόβλητος τῆς ἐλλαμφθείσης γνώσεως κατάληψις.

Ἡ κύκλῳ: Ἐπειδή καί ἑστηκυίας καί κύκλῳ Θεοῦ περιχορευούσας ἀμέσως τάς πρώτας ταύτας ταξιαρχίας φησί, σαφηνιστέον, πῶς καί ἑστᾶσι καί κινοῦνται, καθάπερ ἐν χορείᾳ

κύκλῳ τοῦ Θεοῦ. Καί τέως μέν ἐξ Ἠσαΐου τήν ἀφορμήν εἴληφεν, ὅς λέγει, «καί σεραφίμ εἱστήκει κύκλῳ αὐτοῦ· ἕξ πτέρυγας τῷ ἑνί», καί τά ἑξῆς· ἐπάγει δέ, «καί ταῖς δυσίν ἐπέταντο»· πῶς γάρ ἑστῶτα περιεπέταντο κύκλῳ; Καί νοητέον οὕτως· πᾶς νοῦς ἐκ τοῦ πάντων αἰτίου Θεοῦ ἐκλάμψας, ἐπειδή ἀπό τοῦ δημιουργήσαντος ἐξέλαμψε, λέγεται περί αὐτόν ὡς περί κέντρον κινεῖσθαι, τῆς κινήσεως οὐ τοπικῆς τινος οὔσης, ἀλλά νοερᾶς καί ζώσης· ἔστι δέ νοῦ κύκλῳ κίνησις τοιαύτη· πᾶν τό νοοῦν ἤ νοῦς ὤν νοεῖ, ἤ ὡς μετέχον νοῦ. Ὁ μέν νοῦς ὤν, πρώτως νοεῖ, τό δέ μετέχον νοῦ δευτέρως νοεῖ· κατά τοῦτο μέν οὖν, καθ' ὅ νοῦς ὤν νοεῖ, κινεῖσθαι λέγοιτο ἄν· κυκλική δέ ἐπινοεῖται ἡ κίνησις αὕτη καθ' ὅ ἀνακάμπτων καί περί αὐτόν γινόμενος, οὗτος ἑαυτόν νοήσει καί τόν πρό αὐτοῦ, ἐξ οὗ ἐξέλαμψεν, ὡς οὖν ἐκ Θεοῦ βουληθέντος προβληθείς, περί αὐτόν, ἀντί τοῦ περί τήν Θεοῦ ἔφεσιν καί ἀγάπην, ὡς περί κέντρον, ἔσται· οὐ γάρ ἑνοῦνται τά δεύτερα τοῖς πρό αὐτῶν, ἀλλά χορείᾳ τινί τό γινόμενον ἔοικε· τά γάρ γεννώμενα εἶναι ἐν τῷ οἰκείῳ ἐφιέμενα, τόν γεννῶντα περιαθρεῖ· τό οὖν τῇ νοήσει πρός τά πρό αὐτοῦ ἐπεστραμμένον, κυκλικῆς κινήσεως ἔννοιαν εἰσάγει.

(≡14E_266≡> Ἐπειδή οὖν πανταχοῦ ἐστιν ὁ Θεός, αἱ πανταχοῦ αὐτῷ συνακολουθοῦσαι τῷ θέλειν αὐτόν νοεῖν ἀεί, ἐπί τούτῳ ἀγάλλονται καί περιχορεύουσιν, ὥσπερ τῇ εὐφροσύνῃ. Λέγεται οὖν νοῦς ἐν ἑαυτῷ εἶναι καί πρός ἑαυτόν σπεύδειν· ὁ οὖν ἐν ἑαυτῷ ἐστι, καί δηλοῖ ἀθανασίαν, στάσιν ἔχει· κατά γάρ τό εἶναι, ὅ ἐστιν ἀθανάτως εἶναι, ἑστάναι νοεῖται· κατά δέ τό πρός ἑαυτόν σπεύδειν, κινεῖται μή βουλόμενος διαχεῖσθαί πως εἰς τάς ἔξωθεν αὐτοῦ καί προσύλους νοήσεις. Κατά μέν οὖν τό ταυτοκίνητον οὐχ ἕστηκεν, ἀλλά κινεῖται, κατά δέ τήν οὐσίαν ἀεί ὡσαύτως ἔχουσαν στάσιν, ἀλλ’ οὐ κίνησιν ἔχει. Ἔστι τοίνυν καί κατά φύσιν ἑκάστῳ τῶν νοῶν ὁρμή, ἡ πρός Θεόν ἔφεσις καί ἡ περί αὐτόν, ὡς περί κέντρον κυκλική χορεία, ὡς ἡ τοῦ κύκλου περί τό σημεῖον, ἤτοι κέντρον, ἀφ' οὗ συνέστη· καί γάρ καί κατά φυσικήν ἀνάγκην ἕκαστον τῶν ὄντων τήν περί τόν Θεόν χορεύει χορείαν, τῷ εἶναι ἐφιέμενον τοῦ εἶναι. Οὕτως οὖν περί τῶν πάντων βασιλέα πάντα ἐστί, καί ἐκείνου ἕνεκα πάντα καί ἐκεῖνο ἁπάντων καλῶν αἴτιον. Ὁ δέ εἶπεν ἀμέσως τά πρῶτα περί Θεόν χορεύειν, ὡς μή ἔχοντά τι πρό αὐτοῦ δηλοῖ, ὅτι τά δεύτερα καί τά τρίτα, τουτέστι τά αἰσθητά, διά μέσων τῶν πρό αὐτῶν περί τόν Θεόν, ὡς εἴρηται, ἀναλόγως χορεύει.

Τά νοητά: Τά νοητά εἴδη μέν εἰσι καί ἰδιότητες ὑπάρξεων διακεκριμένων, ἐν δέ τῇ ἀσωματίᾳ, καί μή τόπου δεῖσθαι τά ἄϋλα, ἵνα χωρισθῶσιν, ὡς τά σώματα πάντα· ὅπου γάρ σῶμα καί τόπος ὁ μέλλων χωρεῖν ἀμάχως τά σώματα.

Ὡς φηνή: Ταῦτα τοῦ Ἰεζεκιήλ.

Ἐκ τοῦ τόπου αὐτοῦ. Πῶς χρή νοῆσαι τόπον ἐπί Θεοῦ, τῆς Γραφῆς ἀπανταχοῦ λεγούσης, ἀπεριόριστον εἶναι τό Θεῖον, καί τό, «οὐρανός θρόνος αὐτοῦ, ἡ δέ γῆ ὑποπόδιον τῶν ποδῶν αὐτοῦ»· (≡14E_268≡> καί πάλιν· «ἔστηκε τάς νάπας ζυγῷ καί τήν γῆν δρακί»· καί αὖθις· «ἐάν πορευθῶ εἰς τόν οὐρανόν, σύ ἐκεῖ· ἐάν δέ καταβῶ εἰς τόν ἅδην, πάρει». Ποῖον οὖν ὁ Ἰεζεκιήλ ἐπενόησε τῷ Θεῷ

τόπον; Λέγομεν, ὅτι τά δοκοῦντα ἡμῖν ἄπορα ὁ Θεός τοῖς ἐξ ὅλης αὐτόν ἐπιζητοῦσι κινήσεως φωτίζει· λέγει γάρ ἡ θεία Γραφή· «ἐάν τάς ἐντολάς μου φυλάττῃ τις, ἐγώ καί ὁ Πατήρ ἐλευσόμεθα καί μονήν παρ' αὐτῷ ποιησόμεθα». Ὥστε οὖν καί αἱ νοηταί δυνάμεις, καί αἱ τῶν ἁγίων ψυχαί, καί πάντων τῶν φυλασσόντων τάς ἐντολάς, τόπος κληθεῖεν ἄν εἰκότως τοῦ Θεοῦ καί ἀνάπαυσις· καί ἀλλαχοῦ γάρ φησιν· «ἐπαναπέπαυται τό Πνεῦμά μου ἐπ' αὐτούς».

Ἐν τοῖς περί τῶν θείων ὕμνων: Σημείωσαι ὅτι καί ἄλλο σύνταγμα αὐτῷ Περί θείων ὕμνων πεπόνηται.

Οἱ θεῖοι τόποι: Τίς ὁ τοῦ Θεοῦ τόπος.

Τόποι τῆς θεαρχικῆς: Τό εἰρημένον, «ποῖον οἶκον οἰκοδομήσετέ μοι, λέγει Κύριος, ἤ τίς τόπος τῆς καταπαύσεώς μου», δηλοῖ μή λέγεσθαι περί αἰσθητοῦ τινος, ἀλλά περί τῶν θείων τούτων νοῶν· ἤ καί οὕτως· ἠβουλήθη ὁ Θεός σημᾶναι, ὅτι ἀπερίγραπτον τό Θεῖον. Καί ἄλλως· ὅτι ἐν αὐτοῖς τοῖς ἀκούουσιν οὐκ ἦν τῷ Θεῷ τόπος καταπαύσεως διά τήν ἀπιστίαν αὐτῶν, ὥς φησιν ἐν Εὐαγγελίοις ὁ Κύριος· «ὁ δέ Υἱός τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τήν κεφαλήν κλίνῃ».

Μονάς ἐστι: Οὐ μόνον, φησιν, ὁ τρισάγιος ὕμνος δηλοῖ καί ἡ ἐκ τοῦ τόπου αὐτοῦ τόν Θεόν δοξολογοῦσα φωνή, τό μεταδεδόσθαι καί ταῖς ὑφειμέναις τάξεσι γινώσκειν καί ὑμνεῖν τόν Θεόν, ἀλλά καί ἕτερόν τι σημαίνει πρός τούτοις· τοῦτο δέ δηλοῖ τό ρητόν τό λέγον· καί μήν καί ἑνάδα καί μονάδα τρισυπόστατον (≡14E_270≡> λέγομεν εἶναι τόν Θεόν καί προνοεῖν ἁπάντων, ἀπό τῶν πρώτων καί μέχρι τῶν ἐσχάτων τῆς γῆς περιδεδραγμένον ἁπάντων ἀσχέτως, τουτέστιν οὐ σωματικῇ κατέχοντα, ἀλλά θεϊκῇ προνοίᾳ ὑπερουσίως. Ὅτι δέ ἐστιν ἑνάς καί μονάς, καί Εὐάγριος ὁ ἀνόσιος ἐν τῇ δευτέρᾳ ἑκατοντάδι κεφαλαίῳ τρίτῳ φησί τοῦτο· 'Αὐτός ἐστι μονάς, ἐπειδή τό Θεῖον ἁπλοῦν καί ἀδιαίρετόν ἐστι· τούτου χάριν μονάς· καί μονάς γάρ ἀριθμητικῶς εἰπεῖν, ἁπλῆ καί ἀσύνθετός ἐστιν· ἑνάς δέ διά τοῦτο, ἐπειδή καί πρός ἑαυτήν ἥνωται ἡ ἁγία Τριάς φυσικῶς, καί ἑνοῖ πάντας τούς αὐτῇ πλησιάζοντας κατά τό εἰρημένον ἐν τῷ Εὐαγγελίῳ, «ἵνα ὦσιν αὐτοί ἕν, ὥσπερ καί ἡμεῖς ἕν ἐσμεν».

Ἀσχέτῳ: Ἄσχετον συνοχήν λέγει τήν ἐξῃρημένην πάντῃ καί ἀσυναφῆ πρός τά συνεχόμενα πρόνοιαν τοῦ Θεοῦ καί περικράτησιν.

ΕΙΣ ΤΟ ΚΕΦΑΛΑΙΟΝ Η'

Δυνατά: Ἰσχυρότατα.

Ἐπωνυμίας: Ὅτι ἡ ἐπωνυμία αὐτῶν σημαίνει, τίς ἡ ἰδιότης αὐτῶν.

Μέση τριαδική τάξις

Κυριότητες, Δυνάμεις, Ἐξουσίαι

Ἀδούλωτον: Ὅτι πᾶσα νοητή δύναμις ἀμειλίκτως πρός τό χεῖρον ἔχει.

§ 2. Ὡς ἀμείλικτον κυριότητα: Ἐνταῦθα σφάλματι τῶν ἑλληνικῶν φιλοσόφων εὐσεβῶς ἐπισκώπτει, οἵτινες ἰδικάς τρεῖς δυνάμεις τινάς ἀμειλίκτους προσηγόρευσαν, προελθούσας εἰς

ὕπαρξιν ἔκ τινων πρό αὐτῶν ἑτέρων τριῶν δυνάμεων· οὐ μήν ἐκ Θεοῦ φῶτα, δημιουργηθείσας ἰδικῶς. Καί φασιν εἶναι τούς ἀμειλίκτους τούτους ὑποπεζίους τῶν προβαλλομένων αὐτούς (≡14E_272≡> νοητῶν δυνάμεων, ἀναστέλλοντας καί ὥσπερ ἀντιβαίνοντας καί ἐφεκτικούς τῶν πρό αὐτῶν καί ἑαυτῶν, τοῦ μή πεσεῖν εἰς ὕλην, καί ἀσθενεστέρους κατά τοῦτο τῶν προβαλλομένων ἑαυτούς, καθ' ὅ δέονται τοῦ κατέχειν εἰς τό ἄπτωτον ἑαυτούς. Ταῦτα μέν οὖν ὡς ἐν ἐπιτομῇ τά ἐκείνων· ὁ δέ μέγας Διονύσιος σοφῶς τά ἐναντία πάντα αὐτοῖς φησιν· ἐκ Θεοῦ γάρ αὐτάς δημιουργικῶς ὑποστῆναί φησιν, οὗ καί τήν ἐμφέρειαν ἔχουσιν εἰς κυριότητα, ὥσπερ καί ἡμεῖς οἱ καθ' ὁμοίωσιν κτισθέντες· αὐτούς δέ τό ἀμείλικτον κατά πάσης ὑφέσεως τῷ λόγῳ τῆς κυριότητος ἔχειν λέγει, κόπτοντας ὥσπερ καί διατέμνοντας καί οὐκ ἐῶντας κρατεῖν τήν πρός τά αἰσθητά ἐπιθυμίαν, οὐ μήν τούς πρό αὐτῶν ἀναστέλλοντας· τά δέ αἰσθητά καί σωματικά δουλοπρέπειάν φησι καί ἀνελευθερίαν καί εἰκαίαν δόξαν. 'Δουλοποιίας' δέ ἀντί τοῦ 'δουλοπρεπείας', ἐπεί μή συγχωροῦσι τά ὄντως ὄντα ἐννοεῖν, ἀλλά κατάγουσιν ἐκ τῆς ἀκλινοῦς ἑδραιότητος ἐπί τήν τῶν ματαιοτήτων ὑποκατάκλισιν. Ἀνομοιότητα δέ αὖθις καλεῖ τά ὑλικά, ὡς μηδέποτε μένοντα ἐπί ταὐτότητος, ἀλλά ἀεί μεταβάλλοντα.

Κυριαρχίας: Κυριαρχίαν τήν θεότητα ἔφη, ὅτι πάσης κυριότητος ἀρχή καί αἰτία καθέστηκεν.

Οὐκ ἀπολείπουσιν: Σημείωσαι πῶς πανταχοῦ φησι τάς ὑπερβεβηκυίας δυνάμεις μεταδιδόναι τῶν οἰκείων ταῖς μετ' αὐτάς καί τάς δυνάμεις δυναμοῦν τάς ὑποκειμένας· ἴσμεν δέ, ὅτι καί τόν Δανιήλ γέγραπται ἄγγελος ἐνισχύων, καί ἄλλους· καί τό δή πάντων μεῖζον, καί αὐτόν τόν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἅτε καί ἄνθρωπον, ὡς ἐν τῷ κατά Λουκᾶν Εὐαγγελίῳ κεῖται.

Εὐταξίαν: Πρός τῷ ἀνωτέρω κειμένῳ καί ταῦτα συντακτέον· κατά κοινοῦ γάρ τό οἶμαι δηλοῦν.

Ἀφομοιωμένης: Ὅτι καί τῆς ἐξουσίας ὅσον αὐταῖς θεμιτόν, (≡14E_274≡> ὡς ἀγγέλοις οὖσιν, αἱ νοηταί δυνάμεις τοῖς μετ' αὐτούς μεταδιδόασι.

Καθαίρεται γάρ: Πῶς καί διά τίνος καθαίρονται καί φωτίζονται καί τελεσιουργοῦνται αἱ μέσαι τάξεις· καί ὅτι ἔχει ἡ Γραφή, ὡς ἄλλος ἄλλῳ ἄγγελος διαπορθμεύει τά θεῖα σύμβολα.

Καί διά μέσης: Ὅτι αἱ διά μέσων τελειώσεις ἀμυδρότεραι τῶν πρωτοφανῶς ὑπό Θεοῦ ἐνεργουμένων, αἵτινές εἰσι πρῶται.

Τήν δι' ἄλλου λεγομένην: Κατά τά ἐν τῷ Ζαχαρίᾳ καί Δανιήλ καί Ἰεζεκιήλ τοῖς προφήταις κείμενα.

Ἀμυδρουμένης: Ἀμυδρουμένης ἔφη, οὐ παρά τήν οἰκείαν αὐτῆς ἀτονίαν, ἀλλά τό ὑφειμένον τῶν δεχομένων· τοῦτο γάρ δηλοῖ τό εἰπεῖν 'δευτέρωσιν τελειώσεως', τουτέστι τό ἀμυδρότερον τελειοῦσθαι τά δεύτερα.

Οἱ δεινοί: Σημείωσαι, ὅτι ἱερεῖς ταῦτα παραδεδώκασι τῷ μεγάλῳ Διονυσιῳ· 'αὐτοφανεῖς' δέ ἐκάλεσε τάς πρώτας θείας δυνάμεις, ἐπειδή ἀφ' ἑαυτῶν τάς θείας δέχονται ἐλλάμψεις· αἱ γάρ

λοιπαί δυνάμεις οὐ δι' ἑαυτῶν τά θεῖα δέχονται δῶρα τῆς γνώσεως, ἀλλά διά τῶν ὑπερκειμένων.

Ἱερατικῆς: Σημείωσαι, ὅτι ἱερατική παράδοσίς ἐστι τό περί τῆς τάξεως τῶν νοῶν εἰδέναι.

Ἐλλάμψεων: Ἀπόδειξις τοῦ ρηθέντος, ὅτι τά δεύτερα παρά τῶν πρώτων μυοῦνται, ἀπό Ζαχαρίου τοῦ προφήτου.

Ἀτιθάσσοις: Ἀνημέροις.

Ἐκδεδωκυῖα: Περί τῶν παραδοθέντων τῷ Βαβυλωνίῳ.

Τῇ παντοίᾳ: Ὅρα, ὅτι ὁ Θεός πάντα μηχανᾶται πρός τό ἐπιστρέψαι τούς πλανωμένους.

Ἐπιεικῶς ἐπανῆγεν: Τό 'ἐπιεικῶς' ἀντί τοῦ 'φιλανθρώπως' ἤ 'πάνυ καί μεγάλως' νόησον.

Κοινόν γάρ: Ὅτι κοινῷ ὀνόματι πᾶσαι αἱ δυνάμεις αἱ νοηταί ἄγγελοι λέγονται.

(≡14E_276≡> Ὑφειμένων: Ὑποβεβηκότων, δευτερευόντων.

Προπορευόμενον. Προπορευόμενον τάχα τοῦ προφήτου· τάχα δέ πρό τοῦ τόν μείζοντα ἄγγελον ἐλθεῖν ἐπ' αὐτόν.

Εἶτα πρός αὐτοῦ τήν θείαν: Τοῦτο θέλει δεῖξαι, ὅτι καί ἐν τοῖς ἀγγελικοῖς τάγμασιν οἱ πρῶτοι τοῖς δευτέροις διαγγέλλουσι τήν τοῦ Θεοῦ βουλήν. Κατακάρπως δέ ἀντί τοῦ πάνυ ἐκ τοῦ Ἰεζεκιήλ.

Ἀποκρίνεσθαι: Καλῶς εἶπεν ὁ Κύριος ἐν τῷ προφήτῃ Ἰεζεκιήλ, ὥστε χωρισθῆναι τῶν δικαίων τούς ἁμαρτωλούς· τοῦτο γάρ καί ἐν τοῖς Εὐαγγελίοις φαίνεται πεποιηκώς, ὅτε τά πρόβατα ἐκ τῶν ἐρίφων διεμέρισεν. Ἰδού συνᾴδει καί ἐν τούτῳ ἡ Παλαιά Διαθήκη τῇ Νέᾳ.

Ὅς τόν ποδήρη: Περί τοῦ τόν ποδήρη ἐνδεδυκότος χιτῶνα. Σημείωσαι δέ, ὅτι τῷ μέν ἀγγέλῳ τῷ τό μέν σημεῖον ἐπιθεῖναι κελευσθέντι ποδήρης ἦν χιτών καί ζώνη περί τήν ὀσφύν, σχῆμα πρέπον ἱερεῖ· τοῖς δέ ἀγγέλοις ἄλλοις πέλεκυς ἐν ταῖς χερσίν, ὅπερ δηλοῖ τιμωρητικήν τινα δύναμιν, ὡς ἐκ τούτου νοεῖν ἡμᾶς, ὅτι πρός τό μέλλον ἀποτελεῖσθαι καί τό τῶν ἀγγέλων εἶδος σχηματίζεται, ὅπερ ἐννοῆσαι ὀφείλομεν περί τῶν σεραφίμ καί χερουβίμ καί τῶν ἄλλων δυνάμεων, ὅτι πρός τήν οἰκείαν τάξιν καί τό σχῆμα ἔχουσιν· οἱ γάρ τόν τρισάγιον ὕμνον λέγοντες πολυπρόσωποι σχηματίζονται, δηλοῦντος τοῦ λόγου, ὅτι ἀσίγητός ἐστι καί πολύς ὁ αὐτῶν ὕμνος· οὕτω καί περί τῶν ἑξῆς νόησον.

Τό σημεῖον εἰς τά μέτωπα: Σημείωσαι, ὅτι τήν θείαν προτύπωσιν ἐξ ἐκείνου προεμήνυσε, τό τούς πιστούς κατά τό μέτωπον τήν ζωοποιόν ἐπιτιθέναι σφραγῖδα καί περισώζεσθαι ἐκ τοῦ ὀλοθρευτοῦ· ἀλλά τότε μέν ἄγγελοι ἐν σχήματι ἱερέων τοῦτο ποιεῖν ἐκελεύσθησαν τοῖς ἀνευθύνοις· ἡ γάρ ζώνη καί ὁ ποδήρης χιτών τό ἱεροπρεπές τῶν ἱερέων δηλοῖ σχῆμα· νῦν δέ καί (≡14E_278≡> ἡμεῖς ἑαυτοῖς οἱ πιστοί τήν τοῦ σταυροῦ σφραγῖδα κατά τό μέτωπον ἐντυποῦντες, διαφεύγομεν τόν ἐχθρόν· ἰδού καί ἄλλη ὁμοίωσις Παλαῖας πρός τήν Νέαν. Σημείωσαι δέ, ὅτι αὐταί εἰσιν αἱ τρεῖς τριαδικαί τάξεις τῶν νοητῶν δυνάμεων· πρώτη τριάς, θρόνοι, εἶτα χερουβίμ, εἶτα σεραφίμ· δευτέρα τριάς, κυριότητες, δυνάμεις,

ἐξουσίαι· αὗται καί μέσαι λέγονται· τρίτη τριάς, ἀρχαί, ἀρχάγγελοι, ἄγγελοι· κοινῷ δέ ὀνόματι πάντες ἄγγελοι.

Εὐταξίας: Περί εὐταξίας τῶν δευτέρων πρός τούς ἀνωτέρους.

Τόν θειότατον Γαβριήλ: Σημείωσαι, ὅτι καί ὁ Γαβριήλ οὐκ ἔστι τῶν ἀνωτέρων δυνάμεων, ἀλλά τῶν ὑφειμένων.

Ἱεραρχίας: Σημείωσαι, ὅτι μίμημα τῆς ἄνω μυστικῆς ἱεραρχίας τά ἐν τῇ Ἐκκλησίᾳ γινόμενα σήμερον· καί γάρ οἱ ἱερεῖς σφραγῖδα ἐπιτιθέασι τοῦ ζωοποιοῦ σταυροῦ τοῖς προσιοῦσι τῷ μυστηρίῳ, διά τό χωρισθῆναι αὐτούς τῶν ἀπίστων, καί ἵνα τόν ἐχθρόν διαφύγωσιν· ἄλλως τε καί τάξις φυλάττεται κατά τήν ἁγίαν Ἐκκλησίαν· ὅ γάρ ποιεῖν ἐπιτέτραπται ὁ ὑποδιάκονος, οὐ ποιοῦσιν οἱ ὑποδεέστεροι, καί ὅ ποιεῖ ὁ πρεσβύτερος, οὐ ποιεῖ ὁ διάκονος· καί ἁπλῶς εἰπεῖν, ἕκαστος ἔχει τήν πρέπουσαν αὐτῷ λειτουργίαν· κοινῷ δέ ὀνόματι πάντες κληρικοί καί λειτουργοί καλοῦνται, ὡς καί οἱ ἄγγελοι· ἐντεῦθεν χρή νοεῖν, πῶς εἴρηται τῷ θείῳ Στεφάνῳ· «οἵτινες ἐλάβετε τόν νόμον εἰς διαταγάς ἀγγέλων, καί οὐκ ἐφυλάξετε».

ΕΙΣ ΤΟ ΚΕΦΑΛΑΙΟΝ Θ'

§ 1. Ὑπερούσιον αὐτῆς ταξιαρχίαν: Αὐτῆς τῆς ἀρχοποιοῦ ἀρχῆς ἀναφαίνει τήν ὑπερούσιον ταξιαρχίαν αὐτή ἡ τῶν ἀρχῶν τάξις.

(≡14E_280≡> § 2. Ἀρχαγγέλων: Περί τοῦ ἀρχαγγελικοῦ κόσμου, καί τί δηλοῖ.

Ἱεραρχία: Σημείωσαι τό καθολικόν, ὅτι πᾶσα ἱεραρχία ἔχει πρώτας καί μέσας καί τελευταίας δυνάμεις, τουτέστιν αἱ τρεῖς τριαδικαί τάξεις.

Ἁγιωτάταις: Γρ. καί ἱερωτάταις. Πῶς καί οἱ θεῖοι ἀρχάγγελοι ταῖς πρό αὐτῶν καί μετ' αὐτούς κοινωνοῦσι.

Κατά τό τελευταῖον: Ὅτι ἐσχάτη τάξις ἀγγέλων καί περικόσμιος.

Ἡ τελευταια τριαδική τάξις.

Ἀρχαί, Ἀρχάγγελοι, Ἄγγελοι.

Καί μᾶλλον πρός: Ὅτι ἡ τελευταία τάξις τῶν οὐρανίων δυνάμεων μᾶλλον ἀξία ἐστίν ἄγγελοι προσαγορεύεσθαι, ὡς πλησιάζουσα ἀνθρώποις, δι ' ἧς καί τά θεῖα μυοῦνται ἄνθρωποι.

Τήν μέν γάρ ὑπερτάτην: Ὅτι ἡ πρώτη τριάς τῆς δευτέρας ἱεραρχεῖ, καί ἡ δευτέρα τῆς τρίτης· ἡ δέ τρίτη τῶν ἐν ἀνθρώποις ἱερέων, καί ἐφορῶσι τά παρ' αὐτῶν τελούμενα.

Κρυφιοειδέστερον: Πῶς αἱ μέν κρυφιώτεραι, αἱ δέ ἐμφανέστεραι ἱεραρχίαι.

Ταῖς ἀνθρωπείαις ἱεραρχίαις: Τίνες ἡμῶν ἱεραρχικῶς ἐφεστήκασι. Σημείωσαι τήν ἀπόδειξιν ἐκ τοῦ Δανιήλ, τουτέστιν ἐσχάτην τάξιν ἐπιστατεῖν τῆς καθ' ἡμᾶς ἱεραρχίας.

Καί μήν καί ἡ: Κατά κοινοῦ τό ἵνα ᾖ κατά τάξιν, ὡς εἶναι τήν σύνταξιν, καί μήν ἵνα κατά τάξιν ᾖ καί ἡ παρά Θεοῦ, καί τά ἑξῆς.

Εἰ δέ τις φαίη: Πῶς ἀγγέλων ἀγαθῶν ἐφεστώτων τοῖς ἔθνεσι, μόνος ὁ Ἰσραήλ ἐγίνωσκε τόν Θεόν· ἕκαστον γάρ ἔθνος (≡14E_282≡>

ἄγγελον ἔχει ἀποκεκληρωμένον αὐτῷ, ὡς Ἰουδαῖοι τόν Μιχαήλ, ὅν καί τῆς ἐσχάτης τάξεως τῶν ἁγίων ἀγγέλων φησίν.

Ὅτι μή τάς τῶν ἀγγέλων: Οὐ παρά τήν τῶν ἐπιστατούντων ἀγγέλων αἰτίαν φησί τό τοιοῦτο, ἀλλά παρά τήν οἰκείαν αὐτεξούσιον πρός τά μή δέοντα ροπήν.

Τῇ φιλαυτίᾳ: Σημείωσαι ὅτι ἕκαστος ἑαυτῷ αἴτιος καί τοῦ ἀγαθοῦ καί τοῦ κακοῦ· τό δέ φιλαυτία καί αὐθάδεια ἐκ παραλλήλου τό αὐτάρεσκον δηλοῖ.

Τοῦτο δέ μαρτυρεῖται: Οὐχ ὅτι ὁ Θεός τόν Ἰσραήλ μόνον ἐξελέξατο, ἀλλ’ ὅτι ὁ Ἰσραήλ μόνος ἐβουλήθη ἕπεσθαι Θεῷ· οὕτω γάρ καί ἡ ἑρμηνεία τῆς λέξεως σημαίνει, 'νοῦς ὁρῶν τόν Θεόν'· οὕτω νοεῖν ὀφείλομεν τά ἐν τῇ ὠδῇ Μωϋσέως εἰρημένα, «ἐγενήθη μερίς Κυρίου σχοίνισμα Ἰακώβ», ὅπερ δηλοῖ τόν Ἰσραήλ· οὐχ ὁ Θεός γάρ τόν Ἰσραήλ μόνον ἀγαπᾷ, ὡς καί ὁ Ἀπόστολος πολλαχοῦ ἐδήλωσεν εἰπών, «μή οὐκ ἔστιν ὁ Θεός καί ἐθνῶν; Ναί καί ἐθνῶν, εἴπερ εἷς ὁ Θεός», ἀλλ’ ὁ Ἰσραήλ πρῶτος ἐπορεύθη ὄπισθεν Θεοῦ, ἐπεί ὕστερον ἀποστάς καί αὐτός ἀπεδιώχθη· τό γάρ αὐτεξούσιον ἔχοντες οἱ ἄνθρωποι, ὅτε θέλουσι, ποιοῦσι τόν Θεόν μεθ' ἑαυτῶν.

Πεπονθέναι: Ὅτι καί ὁ Ισραήλ αὐτός ἀπέστη.

Ζωήν: Ὅτι αὐτεξούσιος ὁ ἄνθρωπος.

Ὄψεων: Ὅπερ ἐναῦθά φησιν ὁ πατήρ, τοῦτο καί ἐπί τοῦ ἡλιακοῦ φωτός γινόμενον ἔστιν ἰδεῖν, ἐπί μέν τῶν διαφανῶν ὑλῶν τήν οἰκείαν διάδοσιν ποιουμένου, ἐπί δέ τῶν παχυτέρων οὐχ ὁμοίως, ἀλλ' ἤ πάντῃ ἀδιαδότως ἤ ἀμυδρῶς. Ὅπερ οὖν ἐνταῦθα τό τῆς ὕλης διάφορον ποιεῖ, τοῦτο ἐπί τῆς θείας ἐλλάμψεως ἡ ἀνισότης τῆς αὐτεξουσίου ἐργάζεται ροπῆς.

Ἀνομοιότης: Τουτέστι, τῶν τοῦ νοῦ ὀφθαλμῶν ἡ παρατροπή.

(≡14E_284≡> Ἤ παντελῶς ἀμέθεκτον ποιεῖ: Ὅρα πῶς φησιν ἡμᾶς αὐτούς αἰτίους εἶναι τοῦ δέξασθαι τήν ἔλλαμψιν τήν θείαν, ἤ ὀλίγον ἤ πολύ αὐτῆς δέχεσθαι, ἤ παντελῶς μηδέν αὐτῆς εἰσδέξασθαι, ὅταν πρός αὐτήν ἀντίτυποι γενώμεθα, οἱονεί σκληροί, ἤτοι λίθινοι· φησίν οὖν ἐν Εὐαγγελίοις αὐτός ὁ Κύριος· «δύναται ὁ Θεός ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ»· ὅπερ γάρ ἡμῖν σκληρόν καί ἀδύνατον, τοῦτο τῷ Θεῷ δυνατόν.

Ἡμεῖς ἀνενεύσαμεν: Σημείωσαι, μάλιστα ἐντεῦθεν ἐπιστομίζεται τήν ἄκαιρόν τινων καί ἀδιάκριτον ἀπαιδευσίαν, οἵ τολμῶσι φάσκειν, τά θεῖα ταῦτα συγγράμματα Ἀπολλιναρίου εἶναι, μή ἐκ τῶν προσώπων ὧν μνημονεύει καταστοχαζόμενοι τῆς ἀρχαιότητος τοῦ ἀνδρός, ἀλλά ψευδεπίγραφον λέγοντες τήν Διονυσίου προσηγορίαν· μηδέ ὅτι νῦν ἐξ εἰδωλολατρῶν εἶπεν αὐτόν ἐπιστρέψαι, καίτοι Ἀπολλινάριος οὐκ ἐκ τοιούτων ἦν.

Ἐπί τό πᾶσιν ἑτοίμως: Ὅτι ὁ Θεός, φύσει ὤν ἀγαθός, ἕτοιμον ἑαυτόν τοῖς πᾶσι παρέχει εἰς τό μεταλαμβάνειν τῆς ἁγιότητος αὐτοῦ καί φωτισθῆναι τήν ψυχήν, λοιπόν τό ἐφ' ἡμῖν ζητεῖται, τό, πῶς ἐρῶμεν μετασχεῖν τῆς γνώσεως αὐτοῦ, ἵνα δειχθῇ τό αὐτεξούσιον· οὐ γάρ αἴτιος τῶν κακῶν ὁ Θεός, ὅπερ ἐστίν ὁ ἐξ αὐτοῦ χωρισμός· ἡ δέ σύνταξις αὕτη· ἐπεί ὅτι γε καί τῶν ἑτέρων ἐθνῶν οὐκ ἔκφυλοί τινες ἐπεστάτουν θεοί, μία δέ πάντων ἀρχή· καί

οὕτω τἄλλα, διά μέσου· καί ὅτι καί τῶν ἄλλων ἐθνῶν μία ἀρχή τοῦ Θεοῦ ἦρχε, καί τότε διά τῶν ἰδίων ἀγγέλων ἱεραρχούντων.

Μελχισεδέκ: Σημείωσαι τά περί τοῦ Μελχισεδέκ, ὡς ἱεράρχου ὄντος, καί τῇ δι' ἀγγέλων ὁδηγίᾳ τόν ὄντως ὄντα Θεόν ἐπεγνωκότος· 'ἑπομένους' δέ εἶπε διά τό αὐθαίρετον, καί οὐ κατηναγκασμένον.

(≡14E_286≡> § 4. Τῷ Φαραώ: Σημείωσαι, ὅτι δ' ἀγγέλων φησί τάς καθ' ὕπνους γενέσθαι ὁράσεις τῷ Φαραώ καί τῷ Ναβουχοδινόσορ, καί τάς τούτων ἐκφαντορίας, ἤγουν ἑρμηνείας.

Θεράποντες: Ὁ μέν Ἰωσήφ τῶν Αἰγυπτίων, ὁ δέ Δανιήλ τῶν Βαβυλωνίων, ἀγγέλων τῶν ἐπιστατούντων τοῖς ἔθνεσι τούτοις, βουλῇ Θεοῦ ἀποκαλυπτόντων τά ὁράματα.

Ἀποκληρωτικῶς: Σημείωσαι τήν ἑρμηνείαν τῶν ρητῶν τῆς Μωσέως ᾠδῆς· «ὅτε διεμέριζεν ὁ Ὑψιστος ἔθνη, οὗς διεμέρισεν υἱούς Ἀδάμ, ἔστησεν ὅρια ἐθνῶν κατά ἀριθμόν ἀγγέλων Θεοῦ· καί ἐγενήθη μερίς Κυρίου λαός αὐτοῦ Ἰακώβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ»· οὐ γάρ δεῖ, φησίν, οἴεσθαι μερίσασθαι πρός ἑτέρους θεούς ἤ ἀγγέλους τά ἔθνη· οὐ γάρ ἀποκληρωτικῶς ἔλαχε, τῷ Θεῷ μέν Ἰσραήλ, τοῖς δέ ἄλλοις ἀγγέλοις ἰδίως, ὡς μή διακονεῖν αὐτούς εἰς ἄλλο τι τῷ Θεῷ· οἷον φέρε εἰπεῖν, τόδε τό ἔθνους αὐτοῦ, ἤ οὐ σχολάζει ἑτέρῳ τινί πρός Θεόν, ὁ τοῦ ἔθνους ἄγγελος, ἀλλ ' οὐδ' ὁμοτίμως ἤ ἀντιθέτως ἔλαβεν ὁ Θεός τόδε τό ἔθνος, καί ἕκαστος τῶν ἀγγέλων ἴδιον ἔθνος, ὡς ἐν τῷ Ἠσαΐᾳ εἴρηται, ὅτι ὁ διάβολος τά πρός βορρᾶν ὄρη, τουτέστι τά ἐθνη, εἶπεν ἐν ἑαυτῷ ἔχειν καί ἐναντιοῦσθαι τῷ Θεῷ καί εἶναι ὅμοιος τῷ Ὑψίστῳ· πάντα γάρ δοῦλα τοῦ Θεοῦ καί πάντων αὐτός ἄρχει, ἀλλά τούς γινώσκοντας αὐτόν προτιμᾷ, καί διά τοῦτο καί αὐτός λέγεται αὐτῶν ἄρχειν, κἄν ἔχοιεν ἄγγελον ἐφεστῶτα, ὡς ὁ Ἰσραήλ τόν Μιχαήλ. Καί πῶς πάντων ὁ Θεός ἄρχων κατ' ἐξαίρετον τοῦ Ἰσραήλ λέγεται Θεός, καί ὁ Ἰσραήλ αὐτοῦ; Καί λέγομεν, ὅτι ὁ Θεός πάντων (≡14E_288≡> ἐστί Θεός, τῶν δέ πλησιαζόντων αὐτῷ καί αὐτόν μόνον προσκυνούντων λέγεται Θεός δικαίως· οἱ δέ λοιποί, εἴδωλα σέβοντες, ἑτέρους ποιοῦσιν ἑαυτῶν θεούς.

Ἐγενήθη μερίς Κυρίου: Καλῶς ἑρμηνεύει τό, «ἐγένετο.μερίς Κυρίου Ἰσραήλ». Ἐχρῆν οὖν, εἴπερ ὁ Ισραήλ μόνος ἐπεγίνωσκε Θεόν, αὐτόν μόνον ὑπό τοῦ Κυρίου ἐπισκοπεῖσθαι καί τῶν ἀγγέλων αὐτοῦ· ἀλλά καί ἐν τούτῳ δείκνυται τό ἀμέτρητον καί ἀνεξιχνίαστον ἔλεος τοῦ Θεοῦ, ὅτι καί τοῖς δοκοῦσι μή εἶναι τῆς μεριδος αὐτοῦ, ἴδιον ἄγγελον προεβάλετο φύλακα τοῦ ἔθνους· «ἀνατέλλει γάρ τόν ἥλιον αὐτοῦ ἐπί δικαίους καί ἀδίκους». Καί πάλιν· «ὁ μή θέλων τόν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τό ἐπιστρέψαι καί ζῆν αὐτόν». Ἀλλ ' ἐρεῖς· Καί πῶς οἱ ἔχοντες ἀγγέλους παρά τοῦ Θεοῦ δεδομένους εἰς τό ἐπιστατεῖν καί ἡγεῖσθαι αὐτῶν, ἀπέστησαν ἀπό Θεοῦ ζῶντος καί προσεκύνησαν εἰδώλοις; Λέγομεν, ὅτι πᾶσα ἀνάγκη ἐκ τῶν εἰς Θεόν ὁρώντων ἐλήλαται καί ἀντεισήχθη τό αὐτοπροαίρετον· εἴ τις οὖν αἱρεῖται σύν Θεῷ εἶναι, φρουρεῖται ὑπό τοῦ ἀγγέλου καί τάττεται· «Κύριος» γάρ, φησί, «γινώσκει ὁδόν δικαίων»· καί πάλιν· «νεώτερος ἤμην, καί γάρ ἐγήρασα, καί οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον»· εἴ τις δέ τήν ἐναντίαν αἱρεῖται,

οὐκ ἀναγκάζεται ὑπό τοῦ ἀγγέλου τόδε τι ποιεῖν· οὗτος γάρ ὁ βίος καί κτηνώδης μᾶλλον, καί οὐκ αὐτοπροαίρετος. Ἀμέλει καί περί τοῦ Ἰσραήλ φησιν, ὅτι ἥμαρτε καί ἐμοσχοποίησεν· «ἐπίγνωσιν», γάρ, φησί, «Θεοῦ ἀπώσω, καί ὀπίσω τῆς καρδίας σου ἐπορεύθης», τουτέστι τό ἴδιον θέλημα προετίμησας.

Τόον Μιχαήλ: Ὅτι καί ὁ Ἰσραήλ, εἰ καί μερίς Κυριου ἐγένετο, ἀλλ' οὖν καί αὐτοί ἰδικόν ἄγγελον εἶχον τόν Μιχαήλ.

(≡14E_290≡> Ἐθελουσίως: Τοῦτό φησι διά τό αὐτεξούσιον καί ἀβίαστον.

ΕΙΣ ΤΟ ΚΕΦΑΛΑΙΟΝ Ι'

§ 1. Τελεταρχικῆς: Τελεταρχικήν τήν ἀρχηγόν καί αἰτίαν τῆς αὐτῶν τελειώσεως.

Κρυφιωτέρα μέν: Σημείωσαι ὅτι ἐνταῦθα σαφῶς δηλοῖ, διά ποίαν αἰτίαν αἱ τάξεις τῶν οὐρανίων δυνάμεων οὕτως εἰσίν, ὥστε τήν μέν ὑπερτέραν εἶναι, τήν δέ μέσην, τήν δέ τελευταίαν· λέγει γάρ διά τήν ἀνωτέραν τάξιν, ἥτις ἐστί θρόνοι, σεραφίμ καί χερουβίμ, ὅτι ὑπ' αὐτῆς τῆς θείας γνώσεως ἐλλαμπόμεναι, διά τό ἀμέσως ἐπ' αὐτήν ἐπανατείνεσθαι καί μή ἔχειν τό προλαμβάνον, οὕτως ὑπ' αὐτῆς τῆς τελεταρχίας τῆς θείας καθαίρεται καί φωτίζεται καί τελεσιουργεῖται· εἰ γάρ οὕτως ἐδημιουργήθη, ὥστε πρώτη εἶναι, οὔτε καθάρσεως οὔτε φωτισμοῦ ἐδέετο, οὕτω πλασθεῖσα, ὥστε καί ἀξία εἶναι τῆς πρώτης τάξεως. Ἄλλως τε, ὅρα τί λέγει μετά μικρόν ὁ θεῖος οὗτος ἀνήρ, ὡς κρυφιωτέρα μᾶλλόν ἐστι, ὅτι νοητοτέρα καί μᾶλλον ἁπλωτική· ἐκ τούτων γάρ ἔστι πλέον λαβεῖν τό αὐτοπροαίρετον αὐτῶν· εἰ γάρ μή πλέον τῶν ὑποδεεστέρων ἥπλου ἑαυτήν καί διενοεῖτο, οὐκ ἄν ἐπλησίαζε Θεῷ· ἐγγίσασα δέ Θεῷ ἑκουσίως, κρεῖττον καθαίρεται καί φωτίζεται καί τελεσιουργεῖται, τουτέστι ἐνεργεῖ τά τέλεια, ἀντί τοῦ τά περί Θεόν· καί τοῦτο οἶμαι τήν Γραφήν αἰνίττεσθαι· «προσέλθετε πρός αὐτόν καί φωτίσθητε, καί τά πρόσωπα ὑμῶν μή καταισχυνθῇ»· οὕτω καί περί τῶν ἐφεξῆς δυνάμεων νόησον, ὅτι ἑκάστη κατά τήν οἰκείαν ἀναλογίαν ὁρᾷ τόν Θεόν· τοῦτο σαφέστερον λέγει καί ἐν τῷ τέλει τοῦ κεφαλαίου τούτου.

§ 2. Ἐκφαντορικοί:· Ὅτι πάντες οἱ ἄγγελοι τά παρά τῶν (≡14E_292≡> πρό αὐτῶν εἰς αὐτούς φερόμενα φῶτα τοῖς ὑποδεεστέροις ἐκφαίνουσι. Κατά κοινοῦ ληπτέον τό 'ἐκφαντορικοί'· ἐκ Θεοῦ δέ κεκινημένων φησί περί τῆς πρώτης τῶν σεραφίμ ταξιαρχίας.

Σεραφίμ: Διά τί περί τῶν σεραφίμ ὁ θεῖος ὕμνος φησί κεκραγέναι ἕτερον πρός τόν ἕτερον; Διά τό τούς πρώτους ἀγγέλειν τοῖς δευτέροις τά θεῖα μυστήρια.

§ 3. Οὐκ ἀπεικότως: Ἐκ γάρ τῶν ἁπλουστέρων μυήσεων, ὅπερ γάλακτος ποτισμόν ἐκάλεσεν ὁ Ἀπόστολος, πρός τά μέσα, καί ἐκ τούτων πρός τά μείζοντα, ἤγουν τήν τῶν τελείων τροφήν ἀνιών, τήν τελευταίαν ἀναφαίνει τάξιν καί δύναμιν. Ἔστι δέ καί ἑτέρως τά κατά τόν τόπον νοῆσαι, καί πρώτην μέν εἰπεῖν τήν πρός τό ὑπερκείμενον ἀνάτασιν, μέσην δέ τήν περί αὐτόν ἀναστροφήν καί συνέλιξιν, τελευταίαν δέ τήν τό ὑποδεέστερον ἀνάγουσαν, ὅ καί μᾶλλον ἐπί τῶν ἀγγέλων νοητέον.

Καί πρώτας καί μέσας: Σημείωσαι, ὅτι ἑκάστου ἡμῶν ὁ νοῦς πρώτας καί μέσας καί τελευταίας τάξεις ἔχει εἰς τό νοεῖν περί Θεοῦ τάς τρεῖς τάξεις ταύτας· νοητέον οὕτως, ὅτι πᾶς νοῦς ἔχει οὐσίαν, καθ' ἥν πρῶτόν ἐστιν· εἶτα καί δύναμιν, καθ' ἥν τά οἰκεῖα πράττων εὐσεβεῖ. Ταῦτα καί ἐν τῷ ἑξῆς κεφαλαίῳ σαφηνίζει.

Ὅθεν ἐντεῦθεν σαφῶς καί ἀναντιρρήτως ἔστι λαβεῖν, ὅτι ἀληθῆ πρό μικροῦ παρεγράψαμεν· ἰδού γάρ πῶς φησιν. Ἕκαστος οὐράνιος καί ἀνθρώπινος νοῦς πρώτας καί μέσας καί τελευταίας ἔχει ἀναγωγάς, καθ' ἅς ἕκαστος ἐν μετουσίᾳ γίνεται τῶν θείων καί ἱεραρχικῶν ἐλλάμψεων. Πρῶτον μέν, ὅτι ἴσην τάξιν εἶπε τῶν ἀνθρώπων καί τῶν ἄνω δυνάμεων, καί οὐδένα τῶν ἀνθρώπων ἴσμεν, οὔτε προφήτην οὔτε δίκαιον, μηδέν θέντα τῆς ἰδίας προφάσεως εἰς τό πλησιάσαι Θεῷ, Ὅρα γάρ τί (≡14E_294≡> φησιν ὁ ἕως τρίτου οὐρανοῦ φθάσας, ὅτι «ὑπωπιάζω μου τό σῶμα καί δουλαγωγῶ, μήπως, ἄλλοις κηρύξας, αὐτός ἀδόκιμος γένωμαι»· ἔπειτα σαφῶς ὧδέ φησι τό αὐτεξούσιον καί τῶν ἀγγέλων καί τήν τῆς ἰδίας αὐτῶν ὁρμῆς ἔφεσιν· ἵνα δέ μηδείς τῶν λίαν ἐριστικῶν φιλονεικήση, ὡς ἐν ἐπιλόγῳ φησίν, ὅτι οὐδέν ἀπροσδεές καί αὐτοτελές, τουτέστιν ἀφ' ἑαυτοῦ τέλειον, εἰ μή μόνος ὁ Θεός· ὥστε ἄγγελοι καί ἄνθρωποι προκοπῆς καί τελειώσεως δέονται.

ΕΙΣ ΤΟ ΚΕΦΑΛΑΙΟΝ ΙΑ'

§ 1. Οὐ γάρ ἔστιν εἰπεῖν ὡς ἐπί τῶν ἀγγέλων: Αἱ γάρ δυνάμεις τῆς δευτέρας εἰσί καί μέσης τριάδος μετά τάς κυριότητας ταττόμεναι· ὥστε οὐχ ὡς τελευταίων αὐτῶν οὐσῶν πᾶσαι αἱ τάξεις ἐκλήθησαν δυνάμεις, ὡς ἐπί τῶν ἀγγέλων.

Τῶν ἐσχάτων: Ὅτι τά τῶν ἐσχάτων ἔχουσι τά ὑπερκείμενα, τά δέ τῶν ὑπερκειμένων οὐκ ἔχει τά ἔσχατα· οὕτω καί ἀνωτέρω εἴρηται, ἐπειδή τά μέν πρῶτα ὁλικῶς ἔχει τήν ἔλλαμψιν, τά δέ τελευταῖα μερικῶς, ὡς ἐφεξῆς φησιν. Οὕτω καί ἐν τῇ Ἐκκλησίᾳ ἔστιν εὑρεῖν· ὁ γάρ ἱερεύς δύναται ποιεῖν ὅλα τά τῶν ὑποδεεστέρων, οἷον διακόνων καί τῶν ἐφεξῆς, ὁ δέ διάκονος τά τῶν ἱερέων οὐκ ἐπιτέτραπται ποιεῖν· ὅτι γάρ ἡ καθ' ἡμᾶς ἱεραρχία μιμεῖται τήν οὐρανίαν τάξιν, εἴπομεν ἄνω. Καλῶς δέ προσέθηκε τό ὁλικῶς, μερικῶς γάρ μετέχουσι· τήν σύνταξιν δέ ἀπό τοῦ, οὐ γάρ ἔστιν εἰπεῖν, ἕως δεῖ συνάψαι, καί ἀρχήν ποιήσασθαι τῆς ἀπορίας.

§ 2. Φαμέν δέ: Πῶς πάντες λέγονται δυνάμεις; Τελευταία (≡14E_296≡> γάρ τάξις ἡ τῶν ἀρχῶν καί ἀρχαγγέλων καί ἀγγέλων ἐστί· καί ὅμως καί αὐτοί δυνάμεις ἔστιν ὅτε ὀνομάζονται.

Εἰς οὐσίαν καί δύναμιν: Ὡς ἐν ὑποδείγματι ρητέον οὐσίαν μέν εἰπεῖν τήν πυρός φύσιν, δύναμιν δέ ταύτης τό φωτιστικόν, ἐνέργειαν δέ τό τῆς δυνάμεως ἀποτέλεσμα, ἤγουν τό φωτίζειν καί καίειν.

Ἤ οὐρανίας δυνάμεις ἀποκαλῶμεν: Ὁμώνυμόν ἐστιν ὄνομα αἱ δυνάμεις· λέγεται γάρ οὕτω καί τό ἰδικόν τάγμα, τουτέστι τό δεύτερον τῆς μέσης τριαδικῆς διακοσμήσεως, καί κοινῶς πάντα τά τάγματα, ὡς δύναμιν ἔχοντά τινα,

Ταῖς ὑφειμέναις: Κατά κοινοῦ τό 'ἡμᾶς' οἰητέον. Σημείωσαι, πῶς ἀνωτέρω μέν φησιν, ὅτι εἰς τρία διαιροῦνται αἱ ἀγγελικαί

τάξεις, εἰς οὐσίαν καί δύναμιν καί ἐνέργειαν, ἐνταῦθα δέ λέγει τόν λόγον, δι' ὅν δυνάμεις πᾶσαι καλοῦνται.

Περισσῶς ἔχουσι καί τάς: Δοκεῖ πως ἐνταῦθα λέγειν, ὅτι· κατ' ἀξίαν αἱ ἀγγελικαί διακοσμήσεις δημιουργικῶς ἐτάχθησαν, οὐ σαφῶς δέ τοῦτο παρίστησιν: ἄνω γάρ ἐν τῷ πρό τούτου κεφαλαίῳ φανερῶς τήν αὐτῶν ἔφεσιν καί νόησιν λέγει, αἰτίας αὐτάς εἶναι τῆς ὑπερτέρας αὐτῶν τάξεως, ἀμέλει ὅτι καί καθαίρεσθαι καί φωτίζεσθαι καί τελειοῦσθαι εἶπεν αὐτάς. Ἔστιν οὖν ἐπιχειρήσαντα εἰπεῖν εὐσεβῶς, ὅτι ὁ Θεός, προειδώς αὐτῶν τήν τῆς ἐφέσεως κίνησιν, καί τάς αὐτῶν τάξεις ἀξίας αὐτῶν παρήγαγεν, ἐξ ὧν οὐκ ἄν εἴποι τις αὐτάς δύνασθαι ἐκπεσεῖν, διά τό ἕξιν τινά κτήσασθαι πρός τό ἀγαθόν διά τῆς ἄγαν θελήσεως· τούς δέ ἀγγέλους, τουτέστι τούς τελευταίους διακόσμους ἐνδέχεσθαι ἴσως καί ἐπί τό χεῖρον τραπῆναι· εἶπεν αὐτούς γάρ περικοσμίους, ἐξ ὧν οἶμαι καί τόν διάβολόν ποτε εἶναι πρό τοῦ μή ἐκπεσεῖν· καί εἴ τις τούτων τελειότερον οἶδεν, αἰτῶ μαθεῖν. Σημείωσαι δέ, πῶς κατά τάξιν αἱ ἀγγελικαί διακοσμήσεις δημιουργικῶς παρήχθησαν.

ΕΙΣ ΤΟ ΚΕΦΑΛΑΙΟΝ ΙΒ'

(≡14E_298≡> § 1. Ζητεῖται: Πῶς οἱ καθ' ἡμᾶς ἱερεῖς ἄγγελοι λέγονται.

§ 2. α'. Φαμέν γάρ ὅτι ὁλικῆς: Σημείωσαι, ὅτι εἰ καί τῆς τῶν ἀνωτέρω δυνάμεων ἀποδέουσιν ὁλότητος οἱ ἔσχατοι, ἀλλ' οὖν μερικῆς μετέχουσι σοφίας τε καί γνώσεως καί αὐτοί.

β'. Αἱ δέ τῶν ὑπ' αὐτούς: Τίς ἡ ὁλική σοφία καί μέθεξις, καί τίς ἡ μερική· τό δέ 'κατά δύναμιν οἰκείαν' τήν προαιρετικήν δύναμιν νοητέον ἐνταῦθα.

γ'. Ὥρισται: Σημείωσαι, ὅτι ὥρισται οὐ δηλοῖ εἱμαρμένην τινά καί ἀπαράβατον ἀνάγκην, ὡς εἰώθασι πολλοί λέγειν, ἀλλά τό 'ὥρισται' ἀντί τοῦ διατέτακται κατά ὡρισμένην τινά ἀναλογίαν δυνάμεως, τοῦ νοῦ τυχόν, ὑπέρ ἣν νοῆσαι οὐ χρή.

§ 3. δ'. Εὑρήσεις: Πῶς καί θεοί λέγονται, οἵ τε ἄγγελοι κοινῷ ὀνόματι καί οἱ φιλόθεοι ἄνθρωποι, κατά τό, «ἐγώ εἶπα· θεοί ἐστε».

Ἐξῃρημένης: Πῶς καί ποῖα καί κατά τί τῶν θείων ὀνομάτων ἠξίωται.

ΕΙΣ ΤΟ ΚΕΦΑΛΑΙΟΝ ΙΓ'

§ 1. Ὁ σεραφίμ: Σημείωσαι ὁ σεραφίμ ἀρσενικῇ κλίσει.

Καί γάρ ἀπορήσειέ τις: Ἐπειδή ἐναντιοφανές εἶναι δοκεῖ τοῖς λεχθεῖσιν· ἔφη γάρ πρό τούτων, ὅτι τά κατώτερα ὑπό τῶν ὑπερκειμένων αὐτά, οὐ μήν ἐκ τῶν ἀνωτάτω μυοῦνται, οἷον ἡ τρίτη τάξις ἐκ τῆς μέσης, καί ἡ μέση ἐκ τῆς ὅλων ἀνωτέρας. Ἐζητήθη δέ ταῦτα καί διαφόρως ἐπελύθη.

§ 2. α'. Εἰρημένων ἁμαρτιῶν: Ὅτι οὐκ ἔστι μυηθῆναι τά (≡14E_300≡> θεῖα, εἰ μή γένηται πρότερον ἁμαρτιῶν ἄφεσις. Ὁ γάρ σεραφίμ 'ἐμπρηστής', ἤτοι 'θερμαίνων' ἑρμηνεύεται.

§ 3. β'. Ἕτερος δέ σύ σφόδρα: Σημείωσαι, ὅτι τό 'σύ σφόδρα', οὐ πάντως πρός σύγκρισιν τοῦ μετρίου εἴρηται· οἷον οὐχ οὕτως

εἴρηται τό 'οὐ σφόδρα' ἄτοπον, ὥστε νομίσαι ἡμᾶς, ὅτι ἄτοπον μέν ἔστι πάντως, μετρίως δέ ἄτοπον· ἀλλά καί ἀντί τοῦ θετικοῦ κεῖται, τουτέστιν, οὐ δοκεῖ μοι ἄτοπον εἶναι εὐλαβῶς ἀποφαινόμενος ἔθει φιλοσόφῳ, ἀλλά καί ἀντί τοῦ οὐδαμῶς κεῖται, ὡσεί ἔλεγεν, οὐδαμῶς ἄτοπον.

γ'. Διαπλάσας: Σημείωσαι, ὅτι τάς θείας τῶν προφητῶν ὁράσεις, τούς ἐφεστῶτας αὐτοῖς ἀγγέλους φησί διαπλάττοντας εἰς φαντασίαν ἄγειν τῶν δοκούντων ὁρᾶσθαι· αἰνίγματα γάρ καί σύμβολα, οὐ μήν γυμνά πράγματα καί οὐσίας ἑώρων.

Ἐπί Θεόν: Ὁρᾷς ὅτι οἱ μυοῦντες ἄγγελοι τάς ἀποκαλύψεις τούς προφήτας οὕτως ἐποίουν· ἀνάγοντες αὐτούς πρωτοτύπως ἐπί Θεόν τόν πάντων κυρίως αἴτιον· δευτέρως δέ ἐπί τούς μετά Θεόν πρώτους νόας θέσει καί θεοειδῶς ἄρχοντας τῆς ἐπί Θεόν ἱεραρχίας. Ταῦτα ἐφεξῆς διδάσκει.

Καί διά πάντων: Σημείωσαι, ὅτι ἐπί πάντας ἡ τοῦ Θεοῦ πρόνοια διήκει κρυφίως, καί ὅτι κατώτερος ἄγγελος ὁμωνύμως σεραφίμ ὀνομάζεται.

Ἀναλόγως: Ἤγουν κατά τό μέτρον τῆς τῶν δεχομένων δυνάμεως καί τάς ἐλλάμψεις ἐκτείνει,

Κατά τήν ἑκάστης: Πῶς αἱ θεῖαι ἐλλάμψεις εἰς ἐνίους μέν φανότεραι, εἰς ἐνίους δέ ἀμυδρότεραι διαδίδονται, ἐκ παραδείγματος σαφηνίζει.

Ἠλιακῆς: Τό ὑπόδειγμα τοῦτο καί ἀνωτέρω παρετέθη· πρώτην δέ ὕλην φησί τήν ὕελον καί τάς ὁμοίας· ὥσπερ καί παχυτέραν, οἷον οἴκους καί σπήλαια καί τά παραπλήσια. Ἄλλως· (≡14E_**302**≡> πρώτην ὕλην τήν λεπτήν καί ἀερώδη καί καθαράν.

Πάλιν ἡ πυρός θερμότης: Καλῶς ἀπεικάζει τῷ Θεῷ τό πῦρ· λέγει γάρ ἡ Γραφή, «ὁ δέ Θεός πῦρ καταναλίσκον ἐστί», καί ὅτι τό μέν αὐτοῦ θερμαίνει, τό δέ κατακαίει· οὕτω καί ὁ Θεός τούς προσιόντας αὐτῷ φωτίζει, τούς δέ ἀπιστοῦντας κατακαίει, τούς μή ἐν πίστει προσιόντας καί προσεγγίζοντας αὐτῷ.

Πρός δέ τάς ἀντιτυπεῖς: Οἷον ἀδάμαντα καί ὕδωρ.

Φυσικῆς: Φυσικά λέγει τά αἰσθητά καί ὁρατά. Ἰστέον δέ, ὅτι ἐν τοῖς νοητοῖς, αἱ ἀρεταί οὔκ εἰσι κατά συμβεβηκός, ὡς παρ' ἡμῖν, ἀλλ' ὁ Θεός μέν ἔστι ζῶσα ἀρετή καί αὐτοτελής καί ἀπροσδεής, ὅτι ὑπερουσίως οὐσίωται καί μεταδοτικῶς ἐκφοιτᾷ εἰς τά ἀπ' αὐτῆς ὡς αἰτίας οὔσης, ὑπάρξαντα νοητά· πηγή μέν οὖν τῆς ἀρετῆς ζώσης καί θεούσης κατά τό ἐφικτόν τούς μετέχοντας ὁ Θεός· ἀλλ’ ὅμως εἰς πρόοδον προνοητικῶς ἐκφοιτᾷ εἰς τά οὐσιωθέντα ὑπ' αὐτοῦ νοητά, καί ἀκρότης καί τελειότης κατά τοῦτο εἶναι τῶν νοῶν οὐκ ἀποβάλλει. Οὐ κατά συμβεβηκός οὖν οἱ νόες, ὡς ἡμεῖς, ἔχουσι τήν ἀρετήν, τήν φρόνησιν ἐξ ἀσκήσεως, οἷον ἤ μαθήσεως, ἤ τήν δικαιοσύνην, ἤ τήν σωφροσύνην δι' ἐγκρατείας, ἤ τήν ἀνδρίαν ἐξ εὐθεσίας σώματος καί νεύρων· οὐ γάρ ὡς ἄλλο ἐν ἄλλῳ, ἐν τούτοις ἡ ἀρετή, ἀλλά τό τά οἰκεῖα ἐνεργεῖν καί ἀπαύστως ἀνατετάσθαι πρός Θεόν καί εἰς ἑαυτούς, τοῦτο ἐν αὐτοῖς θεομίμητον, ἀρετή· τάξις δέ ὅμως τήν ὡς ἄλλου ἐν ἄλλῳ διαφυλάττει, ὡς τό, «ζῇ ἐν ἐμοί ἡ ψυχή σου», ἀντί τοῦ, ἡ τῆς διδασκαλίας μετάδοσις· τό δέ συμβεβηκός (≡14E_**304**≡> ἐν ὑποκειμένῳ ὅπερ οὐκ ἔστιν ἐκεῖ· ἀσύνθετα

γάρ καί ἄϋλα ἐκεῖνα, καί τά εἴδη αὐτῶν ζωαί, οὐχ ὡς ἐν ὕλῃ. Καί ταῦτα μέν ὁ παραγράψας ἐνόησεν. Ἔχε δέ κατά νοῦν τάς ἐμάς σημειώσεις, τάς πρό τριῶν φύλλων· καί ἐνταῦθα γάρ τό ἐφιέμεναι τῇ ἐμῇ νοήσει συνεργεῖ· καί οἱ Πατέρες δέ οὕτως ἐνόησαν, καί αὐτός δέ δοκεῖ τό αὐτοπροαίρετον τῶν ἀγγέλων, ὡς μετ' ὀλίγον εὑρήσεις.

Ταξιαρχία: Τουτέστιν ὁ Θεός.

Ἔστιν οὖν ἅπασι: Σημείωσαι ὅτι φωτός οὐσία ὁ Θεός, καί τό φύσει ἀρετή, καί θέσει ἀρετή.

Ἡγοῦνται: Σημείωσαι, ὅτι μετά Θεόν ἀρχή πάσης ἀρετῆς οἱ ἀνώτατοι νόες, δι' ὧν πρώτων ἔχομεν τήν τοῦ Θεοῦ ἔλλαμψιν.

Ἐμπύριον ἰδιότητα: Σημείωσαι, ὅτι κατά ἰδιότητα ἐμπύριοι οἱ ἀνώτατοι νόες.

Θρονίαν: Καλῶς ἑρμηνεύει τί εἰσι θρόνοι τῶν οὐρανίων, τό ἀνεῳγμένην τήν περί Θεοῦ νόησιν ἔχειν· θρονίαν δέ φησιν ἰδιότητα τήν ἀποκληρωτικῶς ἀποφανθεῖσαν τῶν ἁγίων θρόνων ἀρχήν.

Ὑφειμένων: Περί τῶν ὑποβεβηκυιῶν τάξεων, ὅπως διά τῶν πρώτων μετέχουσι τῶν θείων.

Τάς εἰρημένας: Ἦλθεν εἰς ἐξήγησην τοῦ προκειμένου.

Ἔλεγεν οὖν: Περί τοῦ εἰπόντος φησίν, ὅτι οὐχ ὁ σεραφίμ ἐτύγχανεν, ὁ ὀφθείς τῷ Ἠσαΐᾳ, ἀλλά τις τῶν κατωτέρῳν ἀγγέλων· ταύτῃ γάρ τῇ δόξῃ ἐπαγωνίζεται, ἥν πρό ὀλίγου ἀναφαίνει τῇ ἀρχῇ τοῦ κεφαλαίου, ἔνθα φησίν, 'ἕτερος δέ οὐ σφόδρα ἄτοπον', καί τά ἑξῆς.

Ὡς ἐν συμβόλοις: Ἐπειδή ἐξαπτέρυγα ὁρᾷ τά σεραφίμ.

Καί περί Θεόν ἱδρυμένας: Ἔχει γάρ τό λόγιον ὅτι «εἱστήκει κύκλῳ αὐτοῦ».

(≡14E_306≡> Ἐμάνθανεν οὖν: Ὅρα τί ἐμάνθανεν ὁ Ἠσαΐας, ὅν καλεῖ θεολόγον, ὅτι ἄγνωστον τό Θεῖον καί ταῖς ἀνωτάτω δυνάμεσι, καί ὅτι οὐδέν τῶν ὄντων ἐμφερές αὐτῷ. Ὄντα δέ εἴπομεν ἐν τῷ πρό τούτου βιβλίῳ τά νοητά καί αἰσθητά· ταῦτα δέ μυεῖται ὁ προφήτης μετά τό καθαρθῆναι τῶν ἰδίων ἁμαρτιῶν, περί οὗ μικρόν ὕστερον ἐροῦμεν.

Σεραφίμ ἐμυεῖτο: Τί ἐμυεῖτο διά τά σεραφίμ.

Ἐπωνυμίας: Ἑρμηνεία σεραφίμ.

Πτερῶν: Τί δηλοῖ τά πτερά.

Τήν ἐπί τό Θεῖον ἐν πρώταις: Εἶπεν ἄνω γάρ ἐν τῷ τέλει τοῦ δεκάτου κεφαλαίου, ὅτι πᾶς οὐράνιος καί ἀνθρώπειος νοῦς καί πρώτας καί μέσας καί τελευταίας ἔχει τάξεις. Εἰκότως οὖν ἓξ πτέρυγας εἶπεν ἔχειν τήν δύναμιν, ἵνα ταῖς μέν δυσί καλύπτῃ τά πρόσωπα, ταῖς δέ μέσαις τούς πόδας, ταῖς δέ λοιπαῖς τό Θεῖον περιπετῆται, ὅπερ εἶπεν αὐτός τήν ὑπερτάτην ἀνάτασιν. Σημείωσαι δέ τί τό πολύπουν καί τό πολυπρόσωπον τῶν σεραφίμ, καί διά τί σκέπονται ἔνια.

Ἑξαπλῆς: Σημείωσαι, πῶς ἀνάγει τάς ἓξ πτέρυγας τῶν ἁγίων σεραφίμ.

Ὁρωμένων: Τουτέστι τῶν ὑπό τοῦ προφήτου θεωρουμένων.

Τῶν ὑψηλοτέρων: Διά τοῦ καλύπτειν τά πρόσωπα· τῶν δέ βαθυτέρων, διά τοῦ καλύπτειν τούς πόδας· διά δέ τῶν μέσων τήν συμμετρίαν.

Καί πολυτίμητον ὑμνῳδίαν Τό, «Ἅγιος, ἅγιος, ἅγιος»· σημαίνει δέ ὅτι καί ἄγγελος, κατ' ἀναλογίαν τῆς ἰδίας δυνάμεως, δέχεται τήν θείαν ἔλλαμψιν, καί αὐτός μεταδίδωσι τοῖς προφήταις, ὅσον χωροῦσιν, οὐχ ὅσα γινώσκει αὐτός.

Ὅτι κάθαρσίς ἐστι: Τί ἐστι κάθαρσις, καί πῶς εἰς τά νοητά γίνεται παρά τοῦ Θεοῦ.

Αὐτή δέ: Ἡ κάθαρσις δηλαδή ἤ ἡ μετουσία.

(≡14E_308≡> Ἐξῃρημέναις: Οὐ γάρ οἵα ἐστί τῶν ἀνθρώπων ἡ κάθαρσις, τοιαύτη ἐστί καί ἐπί τῶν ἀσωμάτων.

Ταῖς περί αὐτήν: Περί αὐτήν τήν θεαρχίαν δηλονότι, τουτέστι περί τόν Θεόν.

Ἐκφαίνει: Ἡ κάθαρσις δηλονότι.

Ἐπί δέ τῶν δευτέρων: Σκοπεῖν δεῖ, ὅτι διαφέρειν φησίν οὐ μετρίως ἐν τῷ θεοειδεῖ πᾶσαν ἀσώματον δύναμιν· πολύ μέν γάρ ἔχειν τό θεοειδές τούς ἀνωτάτω νόας, ὑφειμένον δέ λοιπόν, καθόσον καί ἡ τάξις ἀπαιτεῖ τούς λοιπούς νόας, μέχρι τῶν ἐσχάτων· πλέον δέ καί τῶν ἐσχάτων τάς ἡμετέρας ψυχάς· ἐπεί καί πάντων τῶν νοῶν πολύ λείπεται ἡ καθ' ἡμᾶς ψυχή. Καί ἡ θεία τοίνυν ἔλλαμψις συνηγμένη πως μᾶλλον καί συνεσταλμένη θεωρεῖται πρός τήν οἷον εἰς μῆκος ἀπόστασιν τῆς εἰς Θεόν πλησιάσεως, συνάγουσα οἱονεί αὐτή ἡ θεία ἔλλαμψις τήν οἰκείαν φανέρωσιν πρός τό ἑνιαῖον καί ἁπλοῦν αὐτῆς ἄγνωστον· ἄγνωστος γάρ ἐστιν ὁ Θεός οὐ διά ποικιλίαν συλλογισμῶν ἀγνοουμένην ἡμῖν, ἀλλά κατά ἑνιαίαν τινά πρός τά καθ' ἡμᾶς, καθ' ἕν καί καθάπαξ ἀκατάληπτον ἀθανασίαν.

Ἐμπυρίως: Σημείωσαι, ὅτι ἐμπύριος ἰδιότης τῶν σεραφίμ ἐστι, καί πῶς, ἀγγέλου καθαίροντος, τά σεραφίμ εἴρηται καθαίρειν, καί πρό τούτων ὁ Θεός.

Ἤ ἱερέων: Σημείωσαι, ὅτι οἱ ἱερεῖς ὑποβεβήκασι τόν ἱεράρχην· καί ὅτι ἄλλο φωτίζειν καί ἄλλο καθαίρειν· καί ὅτι ἄλλο λειτουργός, καί ἄλλο ἱερεύς· καί τῶν ἱερέων καθαιρούντων ἤ φωτιζόντων, ὁ ἱεράρχης λέγεται ποιεῖν.

Διατηρῶν ἀτρέπτους: Ὅτι ὁ Θεός ὁ καί πάντων ὁμοίως τῶν νοητῶν δημιουργός, αὐτός καί τάς πρώτας οὐσίας συνέχει καί διατηρεῖ πρός ἀτρεψίαν καί ἀμεταπτωσίαν· ἀτρέπτους δέ νοεῖν δεῖ αὐτάς κατ' ἐκεῖνο καθ' ὅ εἰσιν, οἷον εἰς τό ἀθάνατον, εἰς τήν ζωήν, καθ' ἥν οὐσίωνται εἰς τό εἶναι φῶς· ἐν τούτοις γάρ καί ἀμεταβόλους οὐσιωδῶς, καί εἰς τό μή τρέπεσθαι εἰς ἐκφύλους ἐπιθυμιας, ἅτε καί αὐτεξουσίους, ὁ Θεός συνέχει αὐτούς (≡14E_310≡> καί διατηρεῖ. Τό μέν γάρ πρός αὐτόν ἀνατείνεσθαι τῆς αὐτῶν ἐστι νοερᾶς προαιρέσεως, τό δέ εἰσαεί περί τοῦτο διαρκεῖν τῆς ἀντιλήψεώς ἐστι τοῦ Θεοῦ· πάντα γάρ δεῖται τῆς Θεοῦ βοηθείας.

Ὁ ταῦτά με διδάσκων: Σημείωσαι, ὅτι ταῦτα παρ' ἑτέρου ἔμαθεν ὁ μέγας Διονύσιος.

Ἱεράρχης: Σημείωσαι, ὅτι μετά Θεόν ἡγεμόνες καί οἱ ἀνωτάτω διάκοσμοι.

Θεοειδῶς ἐμυήθην: Ἡ τοῦ ἀγγέλου ἠθοποιία, ὡσανεί ὁ καθαίρων ἄγγελος τόν Ἠσαΐαν, ταῦτα αὐτῷ ἔλεγε περί τῶν σεραφίμ.

Ἤ παρ' ἑαυτοῦ. Τήν καθ' ὑπέρβασιν τοῦ ρητοῦ σύνταξιν μετά πλεῖστα ἀποδιδομένην οὕτω συντακτέον· τῆς σῆς δ' ἄν νοερᾶς ἐπιστήμης, ἤ τήν αἰτίαν ταύτην δέξασθαι, ἤ παρ' ἑαυτοῦ εὑρεῖν, ἤ παρ' ἑτέρου μαθεῖν καί ἀνακαλύψαι μᾶλλον ἑαυτῷ· εἴπερ δέ οἷόν τε καί ἐμοί ὡσαύτως ἀνακαλύψει περί ἀγγέλων ἐραστήν θεωρίαν. Τό τιμῆσαι δέ ἀντί τοῦ προτιμῆσαι. Σημείωσαι, ὅτι τάς τοῦ Θεοῦ δόσεις προξενοῦσιν ἡμῖν οἱ ἄγγελοι.

Προξενούντων: Σκόπει, ὅτε, Θεοῦ διδόντος ἡμῖν λόγον ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν, ἄγγελοι προξενοῦσι, δῆλον ὡς ὑπέρ ἡμῶν πρεσβεύοντες.

ΕΙΣ ΤΟ ΚΕΦΑΛΑΙΟΝ ΙΔ'

Χιλίας: Ταῦτα ἐν τῷ Δανιήλ εἴρηται.

Τήν ἀσθενῆ καί συνεσταλμένην: Ἀσθενῆ συμμετρίαν ἐκάλεσε τόν τῶν ἀνθρώπων ἀριθμόν πρός τόν τῶν ἀγγέλων· εἴρηται γάρ καί ἑτέρῳ τινί, Διδήμῳ δηλονότι τῷ τυφλῷ· 'Τά μέν ἐνενήκοντα ἐννέα πρόβατα εἶναι τούς ἀγγέλους, τό δέ ἕν τό ἀπόλωλός ἡμᾶς τούς ἀνθρώπους'.

(≡14E_312≡> Γνωστικῶς: Σημείωσαι, ὅτι καί αὐτούς τούς ἀγγέλους φησί γνωστικῶς, οὐ μαθητικῶς, εἰδέναι τούς ὁρισμούς, οἱονεί τό, πόσος τῶν οὐρανίων οὐσιῶν ὑπάρχει ὁ ἀριθμός, ἐκ Θεοῦ καί τοῦτο φωτισθέντας.

ΕΙΣ ΤΟ ΚΕΦΑΛΑΙΟΝ ΙΕ'

§ 1. Ἀγγελοπρεποῦς: Ὡς ὀθόνη, ὡς ἄνθραξ.

Ἀνακαθάρσεις: Ἀνακαθάρσεις φησί τάς ἐξηγητικάς ἑρμηνείας, δι' ὧν καθαίρονται τῶν ἐν τοῖς λεγομένοις δοκούντων ἀτόπων τά σύμβολα.

Εἰ μέν γάρ: Ἄνω γάρ εἶπεν, ὅτι αἱ ἀνώτεραι δυνάμεις ἱεραρχοῦσι τάς μετ' αὐτάς, καί αἱ μέσαι τάς ὑστέρας, καί αἱ ὕστεραι αὐτῶν τούς ἐν ἀνθρώποις ἱεράρχας. Οὔτε γάρ εἶπεν, ὅτι ἡ αὐτή τάξις καί ἄρχει τῷ μετ' αὐτήν, καί ἄρχεται ὑπ' αὐτῶν, ἀλλ' οὕτως εἶπεν, ὅτι ἡ πρώτη τάξις ἄρχει μέν αὐτήν, ἄρχεται δέ ὑπό τῶν πρό αὐτῆς· οὕτω καί εἰς τά ἑξῆς νοητέον.

Εἰ μέν γάρ ἱεραρχεῖσθαι: Ὅ φησι τοῦτό ἐστιν, ὅτι, εἰ τάς πρώτας τάξεις ἐλέγομεν ἱεραρχεῖν τῶν τελευταίων, εἶτα πάλιν αὐτάς τάς τελευταίας ἱεραρχεῖν τῶν πρώτων τάξεων, ὑφ' ὧν καί ἱεραρχοῦνται, ἄτοπον πρᾶγμα ἦν.

Οὐκ ἀπεικότως; Οὐκ ἄτοπόν φησι τάς ἐν τοῖς λογίοις τῆς Γραφῆς εἰκόνας πάσαις ταῖς ἐπουρανίαις δυνάμεσι περιτιθέναι, ὡς πάσας, φέρε εἰπεῖν, εἶναι ὑψηλάς καί σωτηρίους καί γνωστικάς, εἰ καί μή ὁμοίως, ἀλλά τάς μέν ὑπερκείμενως, τάς δέ ὑφειμένως.

Καί τό πρός τό ἄναντες: Ἀνώτερον καί ὑπερκείμενον.

§ 2. Ἀρκτέον καί ζητητέον: Σημείωσαι, διά τί ἐν τοῖς ἀγγελικοῖς τύποις μή ἐμπύριον μάλιστα παραλαμβάνεται, καί διά

τί τά περί τά οὐράνια πυρώδη ὡς ἐπί πλεῖστόν φησιν ἡ Γραφή. Καί ὅτι οἱ σεραφίμ ἐμπρησταί λέγονται.

(≡14E_314≡> Ἐμπρηστάς ὄντας: Ἑρμηνεία σεραφίμ.

Οἱ γάρ ἱεροί: Διά τί καί ὁ Θεός εἰς πῦρ ἐθεωρήθη.

Τό γάρ αἰσθητόν πῦρ: Φυσιολογία θαυμαστή περί πυρός. Τό πῦρ ὁρῶμεν τῷ παντί κατεσπταρμένον, ἀμιγῶς δέ, τουτέστιν οὐκ ἀναφυρόμενον τοῖς ἐν οἷς ὑπάρχει. Διά πάντων δέ φοιτᾷ, τουτέστιν οὐ καθάπερ τό ὕδωρ προφανῆ τήν πρός τήν γῆν ποιεῖται μίξιν· οὕτω καί τό πῦρ, καταφλέγον τό πᾶν καί ἀναλίσκον· ἐξήρηται δέ, ἤγουν ὑπέρκειται πάντων κατ' ἐξαίρετον στοιχείων δηλαδή, κατά τό δραστήριον· ἄγνωστον δέ αὐτό καί κρύφιον καλεῖ, ὡς ὑπάρχον μέν ἐν ὕλαις τισίν, οὐ φαινόμενον δέ δίχα παρατρίψεως ἤ ἄνευ ὕλης δεκτικῆς τῆς ἐνεργείας αὐτοῦ, δεικνύμενον καί κατά τοῦτο ἄσχετον καί ἀθεώρητον· ὁμοίως καί τάς λοιπάς τοῦ πυρός ἰδιότητας θεωρητέον, ἅστινας οὗτος ὁ Πατήρ κατ' εὐσεβῆ ἀναγωγήν τε καί ἔννοιαν ἔλαβεν ἐπί Θεοῦ τε καί ἀγγελικῶν φύσεων. Σημείωσαι δέ διά τί Κύριος ὁ Θεός ὡς πῦρ ἐθεωρήθη πολλάκις, καί κατά τί ἡ ὁμοίωσις τοῦ πυρός πρός τόν Θεόν.

Ἀκράτητον, ἀμιγές, διακριτικόν: Σημείωσαι ἔκφρασιν αἰσθητοῦ πυρός, ἤτοι ἔπαινον· διακρίνει γάρ καί τάς ὕλας, οἷον μόλυβδον ἀπό ἀργύρου, καί τάς κολλήσεις διαλύει· ἀναλλοίωτον δέ, καθό οὐ δυνατόν, μένοντος τοῦ ὑποκειμένου, τουτέστιν αὐτῆς τῆς οὐσίας τοῦ πυρός, μεταβάλλειν αὐτό ἐν τοῖς πάθεσιν, οἷον γενέσθαι αὐτό στρογγύλον ἤ κωνοειδές, ὅπερ ἐν τοῖς γηΐνοις ἐστίν εὑρεῖν, ἤ παθεῖν τά τοῦ ἀέρος, οἷον φθαρῆναι διά τῶν ἀναθυμιάσεων ἤ παχυνθῆναι ἤ καί ὡς τό ὕδωρ μεταβολάς δέξασθαι.

Ὑφέσεως: Οὐδέποτε γάρ χωρεῖ ἐπί τά κάτω.

Ταυτοκίνητον: Ὡσαύτως κινούμενον.

Ἀπροσδεές: Ὅτι ἀπροσδεές ἑτέρου τό πῦρ, καίτοι δέεταί τινος ὑποκειμένου εἰς τό ἐξαφθῆναι· ἀλλ’ οὐ τοῦτο λέγει, ἀλλ’ (≡14E_316≡> ὅτι τό πῦρ οὐ μίγνυται ἑτέρῳ στοιχείῳ, οὐδέ κιρνᾶται, ὡς τό ὕδωρ τῇ γῇ· διό καί ἐν στοιχείοις μονοούσιον αὐτό ἔνιοι κεκλήκασιν.

§ 3. Ἀνθρωπομόρφους: Διά τί καί ἀνθρωπόμορφοι διαπλάττονται οἱ ἄγγελοι.

Καί τό κατ' αἴσθησιν: Σημείωσαι τήν διαφοράν τοῦ αἰσθητοῦ τῶν ἀλόγων ζώων πρός τό αἰσθητικόν τῶν λογικῶν, ἡμῶν λέγω· τά μέν γάρ ἄλογα τό πᾶν αἴσθησίς εἰσι, δι' ἧς καί συνίστανται ἀνόητα ὄντα· ἐν δέ ἡμῖν βραχύ τό αἰσθητικόν· οὐ γάρ δι' αὐτοῦ συνιστάμεθα, ἀλλά διά τοῦ νοεροῦ· ὅθεν καί μετά θάνατον ἔτι ἐσμέν, ψυχή νοερά ὄντες. Ἐπί δέ τῶν ἀγγέλων οὐδέ τό βραχύτατόν ἐστι τῶν αἰσθήσεων, ἀλλά τόπος παχύς τά καθ' ἡμᾶς· ἐλάχιστον δέ τόν ἄνθρωπον κατ' αἴσθησίν φησιν, οὐχ ὡς τῶν ἄλλων ζώων πλείονας αἰσθήσεις ἐχόντων, ἀλλά δραστικωτέρας καί ὀξυτέρας. Αἴνιγμα δέ τοῦτο λαμβάνει τό τούς ἀγγέλους μέν κεχρῆσθαι μέν τοῖς καθ' ἡμᾶς αἰσθητηρίοις, ὑπερέχειν δέ κατά πολύ τῷ περιόντι

τῆς νοερᾶς δυνάμεως· ὥσπερ καί ἄνθρωπος τῇ τοῦ νοῦ ὑπεροχῇ καί τῷ λογισμῷ τῆς ἀλόγου φύσεως κρατεῖ.

Τάς μέν ὀπτικάς: Τί οἱ ὀφθαλμοί τῶν νοητῶν δηλοῦσι, καί τί τά ὀσφραντά, τουτέστιν αἱ ῥῖνες, καί τί τά ὦτα, καί τί ἡ γεῦσις, καί τί ἡ ἁφή, ἥν ἁπτικήν φησι, καί τί τά βλέφαρα καί αἱ ὀφρύες, καί τί ἥβη, καί τί οἱ ὀδόντες, καί τί οἱ ὦμοι καί οἱ βραχίονες, οὕς ὠλένας φησί, καί τί τό στῆθος, καί τί τό νῶτον καί οἱ πόδες, καί τί τό ἐλαφρόν τῶν πτερῶν καί τά ἑξῆς.

Τάς δέ τῶν ὀσφραντῶν: Ἐν τούτοις φυσιολογεῖται τό ἰδίωμα τοῦ σωματικοῦ ὀφθαλμοῦ· κατά ἀναγωγήν δέ ταῦτα μεταβάλλει, ὥσπερ καί τά τῶν λοιπῶν ἀνθρωπίνων μελῶν, εἰς θεωρίαν τῶν ἐν ἀγγέλοις φυσικῶν δυνάμεων.

Καί τροφίμων ὀχετῶν: Ὀχετόν νόησον τήν τῆς σοφίας ἀνυπέρβλητον χύσιν, κατά τό εἰρημένον, «ἐκχεῶ ἀπό τοῦ (≡14E_318≡> Πνεύματός μου ἐπί πᾶσαν σάρκα», καί τά ἑξῆς. Διαβαίνει γάρ ἡ θεία γνῶσις ἀπό τοῦ Θεοῦ διά τῶν νοητῶν δυνάμεων ἐπί τούς θείους ἀνθρώπους κατά τήν ἑκάστου ἀναλογίαν.

Ἐνοειδῆ: Κατά παράληψιν νοήσεως.

Προνοητικῇ δυνάμει: Πᾶσα, φησί, νοητή δύναμις τήν γινομένην εἰς αὐτήν θείαν γνῶσιν πληθύνει, τουτέστι σαφηνίζει πρός τό νοηθῆναι ὑφ' ἡμῶν, διερμηνεύουσα τά ὁραθέντα, ὡς παρά τῷ Δανιήλ εὑρήσεις, ὅτε διηρμήνευσεν αὐτῷ ὁ ἄγγελος τό ἐνύπνιον ὅπερ εἶδε.

Τήν δ' αὖ καρδίαν: Περιείληπται παρ' ἡμῖν ἡ καρδια, οἷον κέντρον πρώτως τήν ζωήν δεδεγμένον, ἐπειδή κατά τόν θεῖον Βασίλειον πρώτη κτίζεται ἡ καρδία· εἶτα ὡς ἀπό κέντρου πᾶν τό σῶμα πλαστουργεῖται, ὥστε πανταχοῦ ταύτην τήν ζωήν διατείνειν εἰς τό σῶμα· εἴτε γάρ ἡ σύμφυτος θερμότης ζωοποιεῖ τό σῶμα, εἴτε τό πνεῦμα, εἴτε τό αἷμα, πάντων τούτων πηγή ἡ καρδία. Διό καί τισιν ἔδοξε πᾶν τό ζωτικόν ἀθρόον καί οἷον ἐνταῦθα πρώτως μάλιστα ἱδρῦσθαι, καίτοι πανταχοῦ τοῦ σώματος ὄν καί οὐ κατεχόμενον τόπῳ, οὔτε περιγεγραμμένον ἐν τόπῳ, οὔτε συνεχόμενον ὑπό τοῦ σώματος. Οὕτως οὖν καί ἐπί τῶν ἀοράτων τάξεων, εἴτε ἐν τῷ παντί, εἴτε κατ' εἶδος διακονικῶς προνοουσῶν· οἱονεί γάρ ἐν μέσῳ καί καρδίας τόπῳ νοητέον αὐτάς, καί ὡς κέντρον πηγαίας ζωῆς ἱδρῦσθαι· καίτοι ἀκρατεῖς οὔσας καί οὐ περιγεγραμμένας τόπῳ ἤ μέρει σωματικῶς, ὧν συνέχουσι προνοεῖν θεόθεν ταχθεῖσαι.

Καί τό φρουρητικόν: Τό ρητόν οὕτως σύνθες· Τό φρουρητικόν τῆς ζωοποιοῦ διαδόσεως· εἶτα ὡς ἐπί τῆς ὑποκειμένης καρδίας.

Διό καί ὑποπτέρους: Διά τί ἐπτερωμένοι οἱ πόδες τῶν ἀγγέλων, (≡14E_320≡> ἵνα δείξῃ τό αὐτοκίνητον καί τό πρός τό θεῖον ἀνατατικόν, καί πρός τά ἐπίγεια ἀκοινώνητον, ὅσον μή τό ἐμπαθές ἐν αὐτοῖς εἶναι, ἐπεί ὤφθησαν καί ἐπί γῆς ἄγγελοι.

Πτερῶν ἐλαφρία: Τί ἐλαφρά πτερωτά.

Καί καθαρεῦον: Τῆς τῶν ἔκτός προσθήκης, οἷον τροφῶν καί ἀμφίων, οἷς τά καθ' ἡμᾶς συγκρατεῖται.

Πολυποίκιλος σοφία: Ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ. Τοῦτο τό ρητόν ἀποστολικόν ἐστι· καί διά τί πολυποίκιλον αὐτήν εἶπεν ὁ

θεῖος ἀνήρ; Καίτοι τό ποικίλον ἐπί κακούργου δεχόμεθα· ἄλλως τε καί ἐνταῦθα ὁ μέγας Διονύσιος ἁπλῆν καί πολυποίκιλον αὐτήν εἶπε· δοκεῖ δέ τά δύο ἐναντία· λέγομεν οὖν, ὅτι τό 'ἁπλῆ σοφία' διά τοῦτο εἶπεν, ἵνα δηλώσῃ τό ἀσύνθετον τοῦ Θεοῦ καί τό μηδεμιᾶς διπλόης ἐπιδεόμενον· οὔτε γάρ ἐκ μαθήσεως σοφός ὁ Θεός, ἀλλ' αὐτόχρημα σοφία ἐστι: Τό δέ πολυποίκιλον, διότι εἰς πολλά γνώσεως εἴδη μετατυποῦται διά τήν τῶν ἐλλαμπομένων ἀσθένειαν· ἀρχιερεύς γάρ ἐστι μέγας συμπάσχων ταῖς ἡμῶν ἀσθενείαις. Ἡ καί οὕτως· Ἁπλῆ μέν λέγεται σοφία Θεοῦ πρός τῆς οἰκονομίας, ὅτι πάντα ὡς Θεός ἐδημιούργησε, καί ἐν τοῖς τότε δικαίοις τήν ἰδίαν ἀπερικαλύπτως ἐπιδεικνύμενος δύναμιν, ὡς ἐπί Μωσέως καί Ἀβραάμ καί τῶν ἑξῆς· ὅτε δέ τό τῆς οἰκονομίας μυστήριον κατειργάζετο, ἡ πολυποίκολος εἰκότως κληθείη. Ἄνθρωπος γάρ γενόμενος, καί ὑπό νόμον χρηματίσας, καί παθών, καί ἐν νεκροῖς εὑρεθείς, οὕτω διά σαρκός καί τῆς ἐνούσης αὐτῇ ἀσθενείας, ἐθριάμβευε πάντα ἐχθρόν, καί τόν ἅδην ἐνίκησε, τοῖς ἐκεῖ φρουρουμένοις ἀνάστασιν δωρησάμενος· τοῦτό ἐστι τό ποικίλον τῆς αὐτοῦ σοφίας, ὅτι δι' ἀσθενείας περιεγένετο τῶν δοκούντων ἰσχυρῶν.

(≡14E_322≡> Καθόλου: Καί ἐν τῷ Περί θείων ὀνομάτων λόγῳ κεφαλαίῳ δ' πλατέως ἐσαφηνίσθη τί νοητόν καί τί νοερόν· νῦν δέ αὐτός ὁ μέγας Διονύσιος σαφηνίζει· νοητόν μέν γάρ ἐκεῖνο τυγχάνει τό νοούμενον, ὅπερ εἰκότως καί ἐλλάμπειν τό φῶς λέγεται· νοερόν δέ αὐτό τό νοοῦν ὑπάρχον ἐλλαμπόμενον, καί συντόμως εἰπεῖν, αἱ ὑπερβεβηκυῖαι οὐσίαι νοηταί, αἱ δέ ὑφειμέναι νοεραί, καί ὑποβέβηκε τό νοοῦν τό νοούμενον. Νοητῶς μέν ἐλλάμπον ἡ θεία φύσις, νοερῶς δέ ἐλλαμπόμενον ἡ ἀγγελική.

Ἱερατικήν: Σημαίνει τί τό ἱερατικόν ἔνδυμα ἐν Ἰεζεκιήλ καί Δανιήλ.

Συναγωγόν αὐτῶν ἕξιν: Εἴπομεν ἀνωτέρω, τί ἐστιν ἕξις ἐπί ἀσωμάτων. Καί ἀνάγνωθι ἐν τῷ ἑβδόμῳ κεφαλαίῳ, 'τό συνηγμένον δέ καί ἀσκέδαστον τῶν νοήσεων· διά τούτων δηλοῖ ὁ Πατήρ περί τάς θείας ἐλλάμψεις, καί τήν οἰκείαν ἐν τῇ τοῦ ἀγαθοῦ Θεοῦ μονῇ ταυτότητα συνειλουμένην διά παντός.

Ἀνομοίων: Ὑλικῶν δηλονότι.

§ 5. Γεωμετρικά: Περί σκευῶν γεωμετρικῶν ἐν Ἰεζεκιήλ καί Ζαχαρίᾳ.

Ἐπανορθωτικήν: Ὡς τό ξιφος ἐν Βασιλείαις, καί τό δρέπανον ἐν Ζαχαρίᾳ τῷ προφήτῃ.

§ 6. Ἀνέμους: Τοῦ κειμένου παρά τῷ Δαβίδ οἶμαι αὐτόν μνημονεύειν, «ὁ περιπατῶν ἐπί πτερύγων ἀνέμων», ἴσως τήν ἀνάληψιν τοῦ Χριστοῦ δηλοῦντος· ἐπεί καί ἐν τοῖς ἑξῆς ὁ Πατήρ, νεφέλης αὐτούς περιπλάττεσθαι ἰδέαν φησιν, διά τό εἰρῆσθαι · «νεφέλη ὑπέλαβεν αὐτόν ἀπό τῶν ὀφθαλμῶν αὐτῶν».

Ἀχρόνως: Ἀχρόνως εἰκότως ἔφη· ἐπί γάρ τῶν αἰσθητῶν κυρίως ἐν χρόνῳ καί βραδύτερα τά γινόμενα· ἐπί δέ τῶν ἀσωμάτων (≡14E_324≡> καί νοητῶν ἀχρόνως καί αἰωνίως καί ἀμελητί τελεσιουργεῖται· οὐ δεῖ οὖν χρόνον ἐπί τῶν νοητῶν ὀνομάζειν.

Ποίησιν: Ἀντί τοῦ πνεῦσιν ἤ πτῆσιν.

Καί τήν ἄνωθεν: Τό δέ ἄνωθεν ἐπί τά κάτω, ὡς ἐπί τῆς Ἰακώβ κλίμακος.

Ἀερίου: Σημείωσαι, ὅτι ἀέριον πνεῦμα τόν ἄνεμον λέγει.

Ἀνεμιαίαν. Ἑτέρα θεωρία τῆς ἀνέμων ἐπωνυμίας.

Συμβολικῇ θεολογίᾳ. Σημείωσαι καί ἕτερον αὐτοῦ σύγγραμμα μή φερόμενον· τετράστοιχον δέ ἀνακάθαρσιν τήν τῶν τεσσάρων στοιχείων ἀναγωγικήν ἀλληγορίαν φησί· τά σύμβολα δέ, ὡς ἔοικε, μᾶλλον τῶν τεσσάρων στοιχείων ἐκεῖ διά θεωρίας ἀνέπτυξε. Σημείωσαι δέ, πῶς ἑρμηνεύει τό, «Πνεῦμα ὅπου θέλει πνεῖ», διά τῶν ἐπιφερομένων· φησί γάρ· «οὐκ οἶδας πόθεν ἔρχεται καί ποῦ ὑπάγει».

Ὑπερκοσμίως ἀποπεπληρωμένοις: Ὥσπερ γάρ ἡ νεφέλη προσκαλεῖται τό τῆς θαλάσσης ὕδωρ καί ἐκχεῖ αὐτό ἐπί τό πρόσωπον τῆς γῆς, κατά τό εἰρημένον, «ὁ προκαλούμενος τό ὕδωρ τῆς θαλάσσης, καί ἐκχέων αὐτό ἐπί πᾶν τό πρόσωπον τῆς γῆς», οὕτω καί οἱ νόες δεχόμενοι τήν οἰκείαν γνῶσιν, νεφελῶν δίκην ἐπί τούς ὑποδεεστέρους ἁπλοῦσιν.

Ἀνεκπομπεύτως: Ἀνεκπομπεύτως φησίν, ἤγουν συγκεκραμένως· ἀναπόβλητον γάρ ἐν νεφέλῃ τό φῶς.

Ὀμβροτοκίαν: Ἑτέρως θεωρεῖ, τί νεφέλαι σημαίνουσι· παρακατιών δέ, τί φησι σημαίνειν ἤλεκτρον καί χαλκόν καί τά ποιά χρώματα καί μορφάς θηρίων ἐπί ἀγγέλων.

Ἐκδόχειον: Ἐκδόχειον κόλπον, τήν τούς ὑετούς ὑποδεχομένην ὠνόμασε γῆν, δι' αὐτῶν τούς οἰκείους τίκτουσαν καρπούς.

§ 7. Ἀλλ' ἐπειδή ταῦτα: Περί τῶν θηρομόρφων τύπων.

(≡14E_326≡> § 8. Ἰχνῶν: Σημείωσαι τό φυσικόν τοῦ λέοντος ἐντεῦθεν· φασί γάρ ὅτι, τούς θηρεύοντας λανθάνειν βουλόμενος, περιπατῶν, τῇ οὐρᾷ ἐξαφανίζει τά ἑαυτοῦ ἴχνη, ἵνα μή γνωσθῶσιν· ὅθεν καί περί Θεοῦ εἴρηται· «ἐν τῇ θαλάσσῃ ἡ ὁδός σου, καί αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς, καί τά ἴχνη σου οὐ γνωσθήσονται»· ὥσπερ γάρ ὁδός ἐν ὕδασιν οὐ σώζεται, οὔτε ἴχνη λέοντος, οὕτως οὔτε Θεοῦ πορεῖαι.

Εὐμήχανον: Ὀξυωπέστατον γάρ ζῶον ὁ ἀετός. Λόγος γάρ τούς ἀετούς τῶν τικτομένων τά γνήσια ἐκ τῶν νόθων οὕτω διακρίνειν· ἐάν ἀτενίσωσιν ἀσκαρδαμυκτί πρός τόν ἥλιον, γνήσιά εἰσιν· εἰ δέ μή, ὡς νόθα ἀποβάλλονται τῆς καλιᾶς· οὕτως οὖν καί ὁ μή δυνάμενος καθαρῶς τῷ ἡλίῳ τῆς δικαιοσύνης ἀτενίσαι, νόθος τῆς αὐτοῦ γνώσεως εὑρίσκεται.

Καί λευκῶν μέν: Σημείωσαι τί ἵπποι λευκοί, κυανοί, ἐρυθροί, σύμμικτοι· ἀνόμοιον δέ ὁμοιότητα ἄνω τελέως ἐσαφηνίσαμεν ἐν δευτέρῳ κεφαλαίῳ τούτου τοῦ βιβλίου.

Τήν κατ' εὐθεῖαν: Τό τήν πρός τό δύναμιν ἁρμοστέον· τά δέ λοιπά διά μέσου.

Κατ' ἄλλην: Ἑτέρα θεωρία εἰς τούς τροχούς.

Γελγέλ: Σημείωσαι τί σημαίνει τό γελγέλ παρά τῷ προφήτη Ἰεζεκιήλ.

Χαρᾶς: Πῶς λέγονται χαίρειν τά οὐράνια, καί αὐτό τό Θεῖον.

Ἐμπαθής: Ἐμπαθῆ ἡδονήν τήν ἀνθρωπίνην φησίν, ὡς τῇ περί τό σῶμα εὐαλλοιώτῳ ἐμπαθείᾳ συνισταμένην.

Ῥαστώνην: Τό τῆς ῥαστώνης ὄνομα τίθεται μέν ἐπί τῶν πονεῖν μή βουλομένων, ἀλλά διαφόρως ζῇν ἑλομένων· σημαίνει (≡14E_328≡> δέ ἡ λέξις τό εὐχερές καί οὐκ ἐπίπονον· ἐνταῦθα μέντοι τό μακάριον καί ἀπαθές καί ἀόχλητον ὑποφαίνει. Ἄλλως ῥαστώνην φησί τήν εὐκολίαν καί εὐμάρειαν ψυχικήν ἐν ἀναπαύσει μετά ἀπαθείας· ἀναλόγως οὖν καί ἐπί ἀγγέλων νοητέον·

Εὐπάθειαν: Εὐπάθειαν ὡς ἐκ τῶν καθ' ἡμᾶς λαβῶν ἔφη· δηλοῖ δέ τό εὖ ἔχειν διά παντός, καί τήν ἀπήμονα κατάστασιν.

Ἄνδρες ἱεροί: Ταῦτα οὐχ οἷόν τε νοεῖν ὥς εἰσι, πλήν εἰ μή τούς ἀξιωθέντας τοιαύτης τελειότητος, ὁποίους ἄρα καί εἶναι προσήκει ἄνδρας, καθάπερ ὁ ἅγιος οὗτός φησιν ἱερεύς, ὥστε καί θείων ἐλλάμψεων ἀξιωθῆναι περί τήν ὄντων γνῶσιν, καί περί τήν πρός τόν Θεόν καθαράν ἀνάτασιν· ἐκ γάρ τῶν τοιούτων ἐλλάμψεων θεούμενος, λοιπόν ὁ νοῦς ὡς ἐν ῥάονι λήξει γενόμενος, ἐν ἕξει γίνεται τῆς ἀγγελικῆς ἡδονῆς, καί τῆς ἐν ἐκείνοις ἀοχλησίας, καθ' ἥν ῥαστωνευόμενος λοιπόν ὁ νοῦς, ὡς ἐν ῥάονι λήξει γενόμενος, ἐπί τῇ σωτηρίᾳ τῶν σωζομένων, ἀπαθῶν, καθ' ὅσον δυνατόν, Θεόν μιμεῖται, τόν θέλοντα πάντας ἀνθρώπους σωθῆναι, ἀπολαύσας τῶν τοῦ Θεοῦ θεουργῶν ἐπιφοιτήσεων, τουτέστι τῶν θεούς ἐργαζομένων καί ἀποτελουσῶν. Θεουργούς δέ ἐπιφοιτήσεις φησί τάς θεούς ἐργαζομένας καί ἀποτελούσας.

Ὅτι τῶν μέν τήν ὑπερκόσμιον: Σημείωσαι δέ, ὅτι δεῖ τόν ἀγνοοῦντα μή ἐρυθριᾶν ἐν οἷς ἠγνόησεν, ἀλλ’ ὁμολογεῖν τήν ἄγνοιαν, καί μή ὡς ἔτυχεν ἀποκρίνεσθαι περί ὧν ἠγνόησεν. Ἰστέον δέ, ὅτι τά γνωρίσματα ἅπερ εἶχον ἔτι Ἕλληνες ὄντες οἱ ἅγιοι, οὗτοι καί μετά τό ἐπιστρέψαι πρός Χριστόν ἀνερυθριάστως ἐπέγραφον ἑαυτοῖς. Ἰδού γάρ καί οὗτος Ἀρεοπαγίτην καλεῖ ἑαυτόν, καί ὁ θεῖος Ἰουστῖνος ἐν τῷ Πρός Ἕλληνας λόγῳ Ἰουστίνου ἐπέγραψε Φιλοσόφου.

ΕΙΣ ΤΟ ΠΕΡΙ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΙΕΡΑΡΧΙΑΣ

ΕΙΣ ΤΟ ΚΕΦΑΛΑΙΟΝ Α'

(≡14E_332≡> § 1. α'. Θεουργικῆς: Θεουργικῆς φησι τῆς ἐκ Θεοῦ ἐνεργουμένης, ἤγουν δοθείσης ἀνθρώποις, καί ὅτι θεούς ἀπεργάζεται καί ἀποτελεῖ ἡ ἐν Χριστιανοῖς ἱεραρχία.

Παραδόσεων: Ὅτι τήν ἱεραρχικήν ἐπιστήμην ἐκ παραδόσεως παρέλαβεν.

β'. Οὐκ ἐξορχήσῃ: Τουτέστιν οὐ παιγνιωδῶς καί ἀνευλαβῶς ποιήσεις πᾶσι τοῖς ἀνιέροις καταφανῆ, γέλωτος ἀφορμήν ποιούμενος τά θεῖα καί μυστικά.

γ'. Ἱεροῖς δέ μόνοις: Ὅτι οὐ δεῖ τά ἅγια τοῖς βεβήλοις ἐκφαίνειν, οὐδέ τούς μαργαρίτας τοῖς χοίροις ῥίπτειν.

δ'. Ὁ θεαρχικώτατος νοῦς: Σημειωτέον κατά Νεστοριανῶν, ὅτι νοῦς καί ἐπί Θεοῦ λέγεται· ἁγιαστείας δέ, ἤτοι καθαρότητος εἰς ἁγιωσύνην.

ε'. Κατά δύναμιν: Τῶν νοερῶν αὐτῶν οὐσιῶν καί νοητῶν κατά τήν δύναμιν· οὐ γάρ κατά τήν ἑαυτοῦ δύναμιν Ἰησοῦς· ἀπειροδύναμος γάρ, ἅτε καί Θεός.

ς'. Συμπτύσσει: Ἡ ἑρμηνεία τούτων ἐστίν ἐν τῷ Περί θείων ὀνομάτων πέμπτῳ κεφαλαίῳ.

ζ'. Πολλάς ἑτερότητας: Πολλάς ἑτερότητας οἶμαι λέγεσθαι (≡14E_334≡> τάς πολυειδεῖς τῶν σαρκικῶν ἐπιθυμιῶν μερίμνας, ἅς ἀπαγορεύει ὁ Κύριος· ἑνοειδῆ δέ καί θείαν ζωήν τό ζητεῖν ἐν πρώτοις τήν βασιλείαν τοῦ Θεοῦ καί τήν δικαιοσύνην αὐτοῦ, ὅπερ ὁ Κύριος ἐσήμανεν, εἰπών ἐν τῇ εὐχῇ, «ἵνα ὦσιν ἕν»· τό δέ οὕτω πεποιῶσθαι τήν ψυχήν, ἕξιν ἱεράν ἀπεκάλεσεν, ἥτις καί μάλιστα τοῖς ἱερωμένοις πρεπώδης.

Καί τῆς τῶν θεαμάτων γνώσεως: Τουτέστι τῶν περί Θεοῦ λόγων καί διδαγμάτων τήν ἐπιστημονικήν κατανόησιν· οὐ γάρ ἄχρι ψιλῆς τῆς τῶν λογίων ἀκοῆς ἤ ἐκφωνήσεως τά τῶν ἱερῶν μυήσεων, ἀλλά τῇ παρακολουθήσει τῆς διανοίας καί τῇ συνέσει τῶν ὑμνουμένων· οὕτω γάρ καί οἱ κατά Θεόν πρῶτον ἐφιεροῦνται αὐτῷ, καί εἶθ' οὕτως ἑτέροις τό τοιοῦτον προξενοῦσι· τελειοῦνται, καί πάλιν τελειοῦσιν.

§ 2. Ἀγγέλων ἐστί: Ὅτι τάς ἐννέα τάξεις καί νῦν λέγει, ἅς προωνόμασεν ἐν τῷ Περί τῆς θείας ἱεραρχίας λόγῳ.

Καί πᾶσα ἡ νῦν ὑμνουμένη: Τίς ἡ δύναμις πάσης ἱεραρχίας.

Αὐτόν τε τόν ἱεράρχην: Τουτέστι τόν ἐπίσκοπον.

Καί τοῖς ὑποβεβηκόσι: Περί προκοπῶν.

Ὑποβεβηκότας ἕπεσθαι: Πρεσβυτέρους.

Ἀλλ' αἱ μέν: Σύγκρισις τῆς οὐρανίας καί τῆς αἰσθητῆς ἱεραρχίας.

Αἰσθητῶν συμβόλων: Αἰσθητά σύμβολά εἰσι τά ἑξῆς δηλούμενα μυστήρια· τουτέστι τό βάπτισμα, ἤτοι φώτισμα· ἡ σύναξις, ἤγουν τό τῆς κοινωνίας μυστήριον, καί τά λοιπά.

Ἓν μέν ἔστιν: Ὁ Θεός δηλονότι.

Οὐχ ἑνιαίως: Ἀντί τοῦ ἑνοειδῶς καί καθ' ἕνα καί τόν αὐτόν τρόπον.

(≡14E_336≡> Νοητῶν τε: Σημειωτέον, ὅτι τό σύνταγμα ὅ αὐτῷ ἐποιήθη περί νοητῶν καί αἰσθητῶν, παρ' ἡμῖν οὐχ εὕρηται.

Διεξοδικώτερον: Ἀντί τοῦ πλατύτερον.

§ 3. α'. Ἔστι μέν ἱεραρχία: Ἱεραρχία ἐστί, φησί, καθώς ἡ σεπτή ἡμῶν παράδοσις παρίστησι, τά καθολικῶς θεωρούμενα ἤ λεγόμενα περί τῶν προκειμένων, ἤγουν ὑποκειμένων ἱερῶν πραγμάτων, ἤτοι δέ καί πραττόμενα. Συγκεφαλαίωσιν γάρ τήν τοῦ ὅλου περίληψιν λέγει, ὥσπερ καί ἀνακεφαλαίωσιν λέγομεν τό ἐπαναλαβεῖν ἐν ὀλίγοις τά προλεχθέντα.

β'. Καθολικωτάτη: Καθολικά ἐστι τά περιεκτικώτερα. Φησίν οὖν, ὅτι τυχόν ἁπάσης τάξεως ἱεραρχίας λεγομένης, ἱεραρχία ἐστίν ἁπάσης ἱεραρχίας ἡ ἀρχικωτέρα καί γενικωτέρα συγκεφαλαίωσις· οἷον τῆς πρεσβυτέρων ἱεραρχίας, τουτέστι τάξεως, ἱεραρχία ὁ ἐπίσκοπος, ὀφείλων γινώσκειν, καθαίρειν, φωτίζειν, τελειοῦν· τῆς διακόνων ἱεραρχίας ἱεραρχία ὁ ἀρχιδιάκονος, ὅς ὀφείλει γινώσκειν

τάς λειτουργικάς ἐνεργείας· καί οὕτω καθεξῆς τά λοιπά συντάγματα.

γ'. Συγκεφαλαίωσις: Ἱερῶν συγκεφαλαίωσις ἡ γνῶσις παντός ἱερατικοῦ τάγματος.

δ'. Ταύτης ἀρχή: Τίς ἡ ἀρχή τῆς ἱεραρχίας, καί περί Τριάδος.

ε'. Ἐπιστητόν: Σημείωσαι, ὅτι ἡ ἁγία Τριάς ἐπιστητόν ἔχει τό τῆς οἰκείας ὑπάρξεως γνώριμον, ὡς τήν νῦν φαμεν τήν ἰδίαν οὐσίαν, μόνη αὕτη ἐπίσταται.

Ἡ λογική: Σημείωσαι, ὅτι ἄγγελοι καί ἄνθρωποι λογικαί εἰσιν οὐσίαι.

Ἡ δέ οὐχ ἑτέρως: Σωτηρία δηλονότι.

Ἡ δέ θέωσις: Τί ἐστιν ἡ θέωσις.

Ἱεραρχίας: Τί τό πέρας πάσης ἱεραρχίας, καί ὁποῖα δεῖ μετιέναι τόν ἱεράρχην. Σημείωσαι δέ, ὅτι τό τέλος, ἤγουν τόν σκοπόν ἁπάσης ἱεραρχίας εἶναι λέγει τῆς ἀγγελικῆς καί τῆς ἐν ἀνθρώποις (≡14E_**338**≡> τήν πρός Θεόν καί τά θεῖα ἀγάπησιν, καί τά ἑξῆς κατειλεγμένα. Τό δέ ἑνιαίως ἱερουργουμένη δηλοῖ τό ὁλοσχερῶς καί μονοτρόπως πρός τήν τοιαύτην λατρείαν ὁρᾷν.

§ 4. Ὑπερκοσμίοις: Σημείωσαι, πῶς κινεῖ ὁ Θεός τάς νοητάς δυνάμεις, καί πῶς ἡμεῖς ἐλλαμπόμεθα.

Οὐ γάρ ἔξωθεν: Ἄνθρωποι μέν ἔξωθεν, τουτέστιν ἀπό τῆς κατά τήν κτίσιν θεωρίας καί λόγων διδασκαλικῶν καί ἑτέρων τοιούτων τήν ἀληθῆ γνῶσιν λαμβάνουσιν, ἄγγελοι δέ αὐτήν ἔνδοθεν τήν νοεράν αὐτῶν ἐλλάμπονται δύναμιν, καί τήν θείαν ἐνσημαίνονται βούλησιν, ἤγουν τυποῦνται πρός τό θεομίμητόν τε καί τῶν ὄντων, ᾗ ὄντα ἐστί, γνωστικόν.

Νοητῶς δέ: Κατανοητέον, πῶς ἔσωθεν, ἀλλ’ οὐ θύραθεν, αἱ ἐλλάμψεις τοῦ Θεοῦ τούς θείους νόας κινοῦσιν· ἔφη γάρ τόν Θεόν νοητῶς αὐτούς ἐλλάμπειν· ἐπειδή γάρ νοερόν μέν ἐστι τό νοοῦν, νοητέον δέ τό νοούμενον, τροφή δέ καί οἷον σύστασις τοῦ νοοῦντος τό νοούμενον, εἰκότως ὁ Θεός, ἅτε νοῶν ὄντων τῶν ἀσωμάτων, αὐτός νοητός καί νοούμενος αὐτοῖς, καθ' ὅσον ἐφικνοῦνται, γενόμενος ἔσωθεν, αὐτός ἐλλάμπει, τοῦ νοῦ νοοῦντος καί τρεφομένου.

Διαιρετῶν συμβόλων: Σύμβολα ἐνταῦθα τάς τῆς Γραφῆς πολυειδεῖς διδασκαλίας φησί, μάλιστα μέν διά συμβολικῶν λόγων τήν περί τῆς θείας φύσεως καί τῶν νοερῶν οὐσιῶν θεωρίαν εἰσηγουμένας· ἔσθ' ὅτε δέ καί τῆς πράξεως οὔσας διορθωτικάς, ὡς τά νομικά παραγγέλματα, εἰς ἠθικήν ἀλληγορίαν ἀναγόμενα· πολλῷ δέ πλέον αἱ τῶν μυστηριων τελεταί ἐν συμβόλοις θεωροῦνται καί τύποις.

Οὐσία γάρ: Σημείωσαι, τίς ἡ οὐσία τῆς καθ ἡμᾶς ἱεραρχίας, καί τίνα τά θεῖα λόγια.

Ἱεροτελεστῶν: Ἱεροτελεστάς μέν τούς ἀποστόλους λέγει, οὕς καί καθηγεμόνας εἴρηκε· θεολογικάς δέ δέλτους τά βιβλία τῆς Παλαιᾶς καί τῆς Νέας· ἀϋλότερον δέ μύησιν τήν ἐκ Πνεύματος (≡14E_**340**≡> γενομένην τοῖς ἀποστόλοις γνῶσιν τῶν τῆς Γραφῆς νοημάτων, ἅ καί σωματικόν ἀπεκάλεσε λόγον, ἐξ ἧς μυήσεως καί τά τῆς Καινῆς συνέστη διδάγματα· γείτονα δέ τῆς οὐρανίας

ἱεραρχιας τήν τῷ ἡγεμονικῷ ἐγγινομένην τοῦ Πνεύματος ἔλλαμψιν ἔφη.

Ἐκ νοός εἰς νοῦν: Ὅρα τά διά μέσου λόγου, καί ὅτι διά λόγου ἀγράφου τά μυστικά παρεδόθη. Κατά κοινοῦ δέ ληπτέον τό παραδεδωκότων· ἱεροῖς δέ ἔφη συμβόλοις διά τά ἑξῆς τεθειμένα μυστήρια, ἅτινα καί θεωρίας ἀναγωγικῆς ἀξιοῖ.

Αἰσθηταῖς εἰκόσι: Περί εἰκόνων.

Τό συνεπτυγμένον: Ἰδού σαφῶς τί ἐπτυγμένον.

Ἀγράφοις μυήσεσι: Σημείωσαι, ὅτι καί ἀγράφοις μυήσεσι τά θεῖα ἡμῖν παραδέδονται.

Συμβολική τις; Ὅτι συμβολική καί ἐξ αἰσθητῶν ἡ κατά ἀνθρώπους ἱεραρχία· τουτέστιν οὐ γυμνῶς αὐτοῖς τοῖς θείοις ἐντυγχάνομεν πράγμασιν, ἀλλά διά συμβόλων τελούμενα, οἷον τοῦ ποτηρίου τῆς εὐλογίας, ὥς φησιν ὁ Ἀπόστολος, καί τοῦ ἄρτου ὅν κλῶμεν, καί τῶν λοιπῶν.

Ἀνακεκαλυμμένοι: Τουτέστι γνώριμοι, καί ὧντινων πραγμάτων καί μυστηρίων εἰσίν ἐνδεικτικοί.

Οὐ μεταδώσεις ἑτέρῳ: Ὅτι ἀσφαλῶς δεῖ λαλεῖν τά μυστικά.

ΕΙΣ ΤΟ ΚΕΦΑΛΑΙΟΝ Β'

§ 1. α'. Ταύτης δέ: Τῆς πρός Θεόν ἀφομοιώσεώς τε καί ἑνώσεως δηλονότι.

(≡14E_342≡> β'. Τίς οὖν ἐστιν ἀρχή: Ἀρχή, φησί, καί ὁδοποίησις τῆς πρός Θεόν οἰκειώσεως καί τῆς ἐπουρανίου κληρονομίας τό θεῖον ὑπάρχει βάπτισμα· καί γάρ «ἐάν μή τις γεννηθῇ ἐξ ὕδατος καί Πνεύματος, οὐ μή ἴδῃ τήν βασιλείαν τοῦ Θεοῦ». Ὅθεν μορφοῦται ὁ ἔσω ἄνθρωπος πρός κρείττονα ἕξιν καί σωτήριον, καί τῶν κατά Θεόν λόγων τε καί πραγμάτων τήν ἐπιτήδευσιν.

γ'. Ἡ πρός τήν τῶν ἄλλων: Τρία τινά φησι δεῖσθαι πρός τήν ἀρχήν τῶν ἐντολῶν· τήν ὑποδοχήν τῶν θείων λογίων, τήν κατήχησιν τῆς θείας πίστεως, καί τήν ἀναγέννησιν τήν διά τοῦ θείου βαπτίσματος. Καλῶς οὖν ἀπέδειξεν, ὅτι ἡ προτιμοτάτη καί ἐξαίρετος κίνησις τοῦ νοῦ ἡ περί Θεόν ἀγάπη ἐστί· καί ὅτι ἀρχή τίς ἐστι τῆς πρός Θεόν ἀγάπης ἡ θεία ἡμῶν δημιουργία, τουτέστιν ἡ διά τοῦ βαπτίσματος ἀναγέννησις, καθ' ἥν θείως εἶναι ἀρχόμεθα· ἡ μέν γάρ ἐκ σπέρματος ἡμῶν δημιουργία, κἄν ἐκ Θεοῦ δημιουργοῦντος ᾖ, ἀλλ’ οὖν φυσική ἐστιν, ἡ δέ ἐκ βαπτίσματος θεία· οὐ γάρ ἐξ αἱμάτων ἐστίν, οὐδέ ἐκ θελήματος ἀνδρός. Ὥσπερ οὖν ἐν τῇ φυσικῇ γεννήσει δεῖ πρῶτον ὑπάρξαι εἰς τό εἶναι, καί τότε ἐνεργῆσαι τά κατάλληλα, καί παθεῖν, οἷον ἀνθρώπους μέν τά οἰκεῖα, ἄλογα δέ ὁμοίως τά πρόσφορα, οὕτω καί ἐν τῇ θείᾳ τοῦ βαπτίσματος ἀναγεννήσει δεῖ πρῶτον Θεῷ ὑπάρξαι, καί τότε ἐνεργῆσαι τήν ἀγάπην αὐτοῦ καί τά λοιπά πρός εὐζωίαν.

Ὡς γάρ ὁ κλεινός: Τόν μακάριον Ἱερόθεον λέγει, ὡς πολλάκις ἐδήλωσεν ἐν τοῖς πρόσθεν λόγοις.

Πρωτίστη κίνησις: Τίς ἡ ἐξαίρετός ἐστι κίνησις τοῦ νοῦ.

Ἡ τοῦ εἶναι θείως: Τουτέστιν ἡ διά τοῦ βαπτίσματος ἀναγέννησις.

Ἀρρητοτάτη: Τουτέστι τό διά βαπτίσματος ἀναπλασθῆναι καί ἀναγεννηθῆναι, ὡς δηλοῖ ἐφεξῆς.

Ὑπάρξαι δεῖ: Ὅτι ἀκολουθεῖ τῇ κατά φύσιν ὑπάρξει, τό κατ' αὐτήν ἐνεργεῖν.

(≡14E_344≡> Θεογενεσίας: Τουτέστι τοῦ βαπτίσματος.

Ἡλιοτεύκτοις: Ταῖς αὐγαῖς ἅς ὁ ἥλιος τεύχει· δηλοῖ δέ τάς ἀκτῖνας.

§ 2. Τόν μέν Ὀζίαν: Σημείωσαι τά κατά τόν Ὀζιαν καί τόν Κορέ καί τόν Ναδάβ.

Εὐαγγέλια: Τίνα εὐαγγέλια ἀληθῶς.

Φιλανθρωπίαν: Σημείωσαι περί τῆς οἰκονομίας.

Ἀφομοιῶσαι: Διά τῆς πίστεως δηλονότι, ὡς ἐφεξῆς δηλοῖ.

α'. Ὁ τούτων ἀγαπήσας: Τόν νεωστί πιστεύσαντα καί θέλοντα φωτισθῆναί φησι· μεμυημένον δέ, τουτέστι Χριστιανόν, καί τελείως πιστόν.

β'. Αὐτός δέ ὁλικῶς: Περί τοῦ νυνί λεγομένου ἀναδόχου τῶν νεοφωτίστων.

γ'. Ἐπακολουθήσειν: Κατά τό εἰρημένον ἐν τῷ νόμῳ· «κατά πάντα ἀκουσόμεθα τῆς φωνῆς Κυρίου».

δ'. Ἀναδέξασθαι: Τόν αἰτηθέντα ἀναδέξασθαι· ὅθεν καί ἀνάδοχος λέγεται.

Ἱεραρχίας ἐπώνυμον: Ἱεράρχην δηλαδή.

§ 3. ε'. Τοῖν ἀνδροῖν. Ὅτι οὕτω δεῖ συνθεῖναι τήν ῥῆσιν· Τοῖν ἀνδροῖν, ὡς ἐπ' ὤμων τό πρόβατον εἰσδεξάμενος, ἵνα ἦ ἐκ τῶν δύο ἀνδρῶν, τοῦ τε ἀναδόχου φημί καί τοῦ προσελθόντος, εἴσω τῆς ἐκκλησίας, δεξάμενος αὐτόν ὡς πρόβατον ἀπολωλός· αὐτοῦ τοῦτον ἐκ πλάνης ἐπιστρέφοντος· ὁ γάρ ἀνάδοχος πιστός ἦν, καί οὐκ ἐδεῖτο εἰσδεχθῆναι· νῦν εὐχαριστεῖ τῷ Θεῷ ὁ ἱερεύς. Εἰ γάρ οὕτω συντεθείη, τοῖν ἀνδροῖν εἰσδεξάμενος, σόλοικον ἔσται πάνυ.

Ἐσέφθη: Ἀντί τοῦ ἐσεβάσθη.,

Διά νοερᾶς: Νοεράν εὐχαριστίαν φησί τήν σιωπηλήν καί ἐν τῷ νῷ γινομένην, σωματοειδῆ δέ, κλίνων τήν κεφαλήν καί προσκυνῶν τόν Θεόν.

§ 4. Πᾶσαν ἱεράν διακόσμησιν: Τουτέστιν ὅλον τόν κλῆρον.

(≡14E_346≡> ζ'. Ὕμνον τινά. Σημείωσαι, ὅτι ἐκ πάσης τῆς Γραφῆς δυνατόν ὕμνον προσφέρειν τῷ Θεῷ οὐ μήν ἐκ μόνου τοῦ Δαυίδ. Ἄλλως ὕμνον τινά, ἤ τήν ᾠδήν Μαρίας τῆς ἀδελφῆς Μωσέως, «ἄσωμεν τῷ Κυρίῳ», ἤ τόν τριακοστόν τρίτον τοῦ Δαυίδ ψαλμόν, ἤ μέρος τούτου, «προσέλθετε πρός αὐτόν, καί φωτίσθητε».

Ὁλικήν γενέσθαι: Ὁλικήν προσέλευσιν τήν ἐξ ὅλης ψυχῆς· φησι.

Κελεύει τοῖς ἱερεῦσι: Σημείωσαι, ὅτι ἱερεῖς καλεῖ τούς ὑποβεβηκότας τῶν ἐπισκόπων, τουτέστι τούς πρεσβυτέρους καί διακόνους αὐτούς οὕτως ὀνομάζων· αὐτοί γάρ ὀνοματογραφοῦσι τούς νεοφωτίστους.

ς'. Τόν ἄνδρα: Σημείωσαι καί περί τῆς ἀπογραφῆς τοῦ βαπτιζομένου καί τοῦ ἀναδόχου.

Ἐκκλησίας συμπληρωσάσης: Τουτέστι ἐπί τῇ τοῦ Ἀμήν ἐκφωνήσει.

Ὑπολύει μέν αὐτόν: Περί τῶν ἐν τῷ θείῳ βαπτίσματι τελειουμένων.

Καί ἀπαμφιέννυσιν: Ἐνταῦθα οὐ πᾶσαν τήν ἐσθῆτα ἀπαμφιέννυσιν, ἀλλ’ ἀφίησιν ἕν ἱμάτιον, ὡς δηλοῖ ἐφεξῆς· διά τῶν λειτουργῶν δέ, τουτέστι τῶν διακόνων.

Μετάγει πρός ἕω: Ὧδε ὡς εὐχόμενον καί αἰτοῦντα ποιεῖ· ἐν δέ τῷ πρός δυσμάς σχήματι ὡς ἀπωθοῦντα τά ἔργα τοῦ σκότους. Σημείωσαι, ὅτι τότε οἱ διάκονοι μόνοι ἐξέδυον τούς ἐπί τό βάπτισμα, οἱ δέ πρεσβύτεροι τά λοιπά ἐποίουν, ἅ νῦν οἱ διάκονοι ποιοῦσιν, ὡς ἔγνως πρό μικροῦ· καί ἐν τοῖς ἑξῆς δέ εὑρήσεις, ὅτι λειτουργούς τούς διακόνους καλεῖ, τούς δέ πρεσβυτέρους ἱερεῖς.

ζ'. Τῶν λειτουργῶν: Λειτουργούς λέγει τούς διακόνους.

Μητέρα τῆς υἱοθεσίας: Μητέρα τῆς υἱοθεσίας τήν κολυμβήθραν καλεῖ.

(≡14E_348≡> Τό ἱερόν τῆς τῶν θεολήπτων: Οὕτω τήν λέξιν συντακτέον· τό ἱερόν μελῴδημα τῆς ἐπιπνοίας τῶν θεολήπτων προφητῶν ἵνα ᾖ· καί τό λοιπόν ὁ ἐπίσκοπος, εἰπών τό ἱερόν μελῴδημα τοῦ ἁγίου Πνεύματος, ὅπερ ἅγιον Πνεῦμα ἡ ἐπίπνοιά ἐστι τῶν θείων προφητῶν, δέχεται τόν ἄνδρα· οὐ γάρ τό ἱερόν μελῴδημα τῶν προφητῶν φησιν· πάντες γάρ οἱ προφῆται εἶπον τό ἕν ἄσμα· ἔστι δέ ὁ εἰκοστός ὄγδοος ψαλμός· «Φωνή Κυριου ἐπί τῶν ὑδάτων», καί τό « Ἀλληλούϊα».

Κατάλληλον: Τουτέστι λευκήν.

Τῷ θεουργικωτάτῳ: Γρ. ἐν ἄλλῳ, θεολογικωτάτῳ. Οὐ χρή φησί, τόν ἐντυγχάνοντα τοῖς Περί τῆς ἐκκλησιαστικῆς ἱεραρχίας λόγοις τοῦ πατρός ξενίζεσθαι, εἰ παρά τήν νυνί κρατοῦσαν ἐν ταῖς ἐκκλησίαις τάξιν ἐν ταῖς τῶν μυστηρίων τελεταῖς παρηλληγμένα λέγει τινά· ὥσπερ καί ἐνταῦθα μετά τήν χρίσιν τοῦ μύρου τήν τῆς ἁγίας κοινωνίας μετάληψιν εἰσάγει γίνεσθαι. Εἰκός γάρ ἦν ταῦτα, τῇ τῶν χρόνων μέν καταστάσει ἁρμόζειν, νῦν δέ ἀκριβέστερον γίνεσθαι ἐν τῇ τῶν θείων μυστηρίων τελείᾳ λειτουργίᾳ, ἐν ᾗ καί τούς νεοφωτίστους δεῖ μεταλαμβάνειν.

§ 8. Τῷ δέ εἰπεῖν πάλιν ἐπί τήν τῶν πρώτων ἀνατείνεσθαι θεωρίαν, ἤ εὐχήν μετά τοῦτο γίνεσθαι ἠνίξατο, ἤ ὅτι μετά τοῦτο ὁ ἱεράρχης πρός τήν θείαν ἄπεισι λειτουργίαν.

Ἐπί τήν τῶν πρώτων ἀνατείνεται: Ὅ λέγει τοιοῦτόν ἐστιν· ὁ ἐπίσκοπος, τήν εἰκόνα ἐπέχων τοῦ πάντων Θεοῦ, ὥσπερ ὁ Θεός ἐπί τῆς οἰκείας ἑνότητος ἀεί μένων καί ταυτότητος, καί ἀνεκφοιτήτως εἰς ἑαυτόν ἱδρυμένος, σωτηρίας ἕνεκα πάντων ταῖς προνοητικαῖς προόδοις ἐπί πάντα τάς τῆς ἀγαθότητος ἐλλάμψεις ἐκτείνει, καί πᾶσι πάρεστι τῆς ἰδίας ἱδρύσεως οὐκ ἀποστάς· οὕτω καί ὁ ἐπίσκοπος, κατά μίμησιν ὡς δυνατόν συμβολικῶς τοῦ Θεοῦ, ἐπί τῆς ἰδίας στάσεως μένων, τουτέστι (≡14E_350≡> τῆς ἐκκλησιαστικῆς ἀρχῆς, πρόεισι προνοίᾳ φιλανθρωπίας ἐπί τά δεύτερα, τουτέστιν εἰς τό κατιέναι πρός τόν ἐπιστρέφοντα, καί διδάσκει αὐτόν, καί χρίει, καί σφραγίζει, καί μεταδίδωσι τοῦ δώρου βαπτίσας. Ταῦτα δέ πάντα ὡς λειτουργικά δεύτερά εἰσι τῆς ἀρχῆς αὐτοῦ. Πληρώσας οὖν τά δεύτερα πάντα, πάλιν ἐπάνεισιν ἐπί τό θυσιαστήριον, παριστῶν συμβολικῶς ἐπί τοῦ Θεοῦ ὅτι, καίτοι προελθών

προνοητικῶς εἰς τά δεύτερα τῆς τοῦ προσελθόντος ἕνεκα σωτηρίας, ὅμως οὐκ ἀπέστη τοῦ τά οἰκεῖα πράττειν καί ἐν τοῖς αὐτοῦ εἶναι, τουτέστιν ἐν τοῖς τῆς περί Θεόν θεωρίας ὑψώμασιν, ἀλλ' ἀπό θείων, ἀντί τοῦ ἐκ τῆς τῶν περί νεοφωτίστων ἁγίας λειτουργίας, εἰς θεῖα, οἱονεί πρός τό τῆς θεολογικῆς θεωρίας ὕψος πάλιν ἐπιστρέφει, πρός τό τῷ ἁγίῳ Πνεύματι δοκοῦν ἀγόμενος καί μεταγόμενος. Ταῦτα καί μετά βραχέα φησίν ἐν τῇ θεωρίᾳ τοῦ μυστηρίου τῆς κοινωνίας.

Τῇ δι' ὕδατος: Τῷ γάρ ὕδατι τά ἀκάθαρτα καθαίρονται.

Γ'. § 1. Αἰνισσομένη: Ὅτι πρός τούς ἀκούοντας δεῖ καί τάς ἑρμηνείας ποιεῖσθαι· καί ὅτι οἱ πολλοί ἀνήκοοί εἰσι τῶν τοιούτων μυστηρίων, ὅπερ λέγει πληθύν.

§ 2. Ἑνοειδῆ τῆς πληθύος: Ἑνοειδῆ φησι τήν θεοειδῆ, πληθύος δέ, τῶν πολλῶν καί ἀνιέρων.

Ἐν τῇ Περί νοητῶν: Ὅτι περί νοητῶν καί αἰσθητῶν σύγγραμμα αὐτῷ πεπόνηται, καί τί περιέχει.

§ 3. Λέγωμεν τοίνυν: Θεωρίαι.

Τῶν νοερῶν: Δύο κακίας λέγει τῶν νοερῶν· ἤ γάρ τελείως ἀφίστανται τοῦ θείου φωτός, ἐρῶσαι τῆς κακίας, ἤ τό δοθέν αὐταῖς τῆς ἐλλάμψεως μέτρον περιφρονήσασαι, καί ὑπερβῆναι τοῦτο τολμηρῶς ἐπιχειρήσασαι, καί τό ὑπερβαῖνον τήν δύναμιν αὐτῶν καταλαβεῖν ἀτονήσασαι, ἀποτεύξονται πάντως καί τοῦ δοθέντος αὐταῖς μέτρου, τοῦ θείου φωτός ἀναλλοιώτου μένοντος πανταχοῦ.

Αὐθαίρετος: Σημείωσαι, ὅτι πᾶσα νοερά ὄψις καί δύναμις (≡14E_352≡> εἴτε ἀγγέλων εἴτε καί ἀνθρώπων αὐθαίρετός ἐστι καί αὐτεξούσιος· καί πῶς ἐν κακίᾳ γίνεται.

Ἀπήρτηται: Ὥσπερ τό συνηρτῆσθαι δηλοῖ τό συναρμόσθαι, οὕτω καί τό ἀπηρτῆσθαι τό ἐκπεπτωκέναι τῆς ἁρμογῆς καί τῆς συμφυΐας· ἔσθ' ὅτε δέ καί τό ἐκκρεμᾶσθαι ἡ λέξις δηλοῖ. Ἐνταῦθα μέντοι κατά τό πρότερον σημαινόμενον εἴληπται.

Εἴτε τοῦ μετρίως: Ἐξ εἰκόνος τοῦ αἰσθητοῦ φωτός ἐπί τό τῶν θείων νοήσεων σύμμετρον ἁρμόσεις τό εἰρημένον· ἐπεί καί γέγραπται, «ὑψηλότερά σου μή ζήτει· ἅ προσετάγη σοι, ταῦτα διανοῦ»· μέτρον γάρ ἐν τούτοις τό σύμμετρον λέγει.

Τῶν μέν ἀνοικείων: Τῶν μή ἐναρμοζόντων αὐτῇ, ὡς ὑπερεχόντων.

Πρός ταύτην ὁ θεῖος: Τίνος τύπος ὁ ἐπίσκοπος.

Προσιοῦσιν ταῖς: Ὧδε σαφῶς, ὅτι πρός τούς ἀκούοντας διδάσκει.

§ 4. Ἐπιγνώμονες: Σημείωσαι, ὅτι πρῶτον δῶρον ἐκ τῆς ἀκριβοῦς διδασκαλίας κτᾶταί τις τό ἐπιγνῶναι ἑαυτόν, ἵνα τό ἐν τῷ νόμῳ φυλάξῃ, «πρόσεχε σεαυτῷ», ὡς καί ὁ θεῖος ἔφη Βασίλειος· οὕτω γάρ τέως μιμεῖται ἀγγέλους τούς γινώσκοντας ἑαυτούς.

Ὁρατόν ἀνατρέχων: Ὁρατόν ἐνταῦθα τό θεωρητόν, ἤγουν ἐπιστητόν λέγει· ἀνατρέχων δέ, τουτέστιν ὅλος κινούμενος ἐπί τό ὁρᾷν· ἱερόν δέ δῶρόν φησι τό εἶναι ἑαυτοῦ ἐπιγνώμονα.

Ταύτης ἐστί τῆς: Ἐξήγησις, τί τό δι' ἀναδόχου πρός τόν ἱεράρχην ἐλθεῖν.

Σφραγίς: Τίς ἡ σφραγίς καί τίς ἡ ἀπογραφή.

Πρός αὐτῷ: Ἀντί τοῦ, 'μετ' αὐτοῦ'.

(≡14E_354≡> Συνοπαδόν: Συνακόλουθον,

§ 5. Ἀλλ' ἄσχετον εἶναι: Οἱονεί μηδεμίαν σχέσιν ἔχοντα πρός τήν προτέραν ζωήν, μηδέ καταταττόμενον ταῖς διαιρέσεσι τοῦ ἑνοειδοῦς· τό γάρ ἕν ἐν πᾶσιν ἑαυτῷ ὅμοιον, καθ' ὅ ἕν· τό δέ πλῆθος, ὡς ἐν διαιρέσει ἁμαρτιῶν τυγχάνον, ἀνόμοιον.

Ἀπεκδύσασα: Διά τί ἀποδύεται.

Ὥσπερ ἐκπνέοντα: Σημείωσαι τί σημαίνει τό τούς κατηχουμένους ἐμφυσᾷν τῷ διαβόλῳ.

Διαγγέλλουσα: Ἡ τῶν συμβόλων δηλαδή παράδοσις.

Πρός τό ἕν ὁλικῆς συννεύσεως: Τήν πρός τό ἕν ὁλικήν σύννευσιν λαβέ κατά τό τοῦ Κυρίου ρητόν εἰπόντος, «ἵνα ὦσιν ἕν», τουτέστι πρός τό ἕν ὁρῶντες, ὅπερ ἐστί τό ἀρέσκον Θεῷ· ἀνάτασιν δέ, τήν πρός τό Θεῖον ὕψωσιν τοῦ λογισμοῦ καί τῶν χαμαιζήλων ἀναχώρησιν.

Τό ἀναλλοίωτον ἴσχει: Πῶς καί πόθεν ἀναλλοίωτοι γίνονται αἱ νοεραί ἕξεις.

Ἀμάλθακτον εἶναι: Ἄθελκτον, ἀθήλυντον, ἀνδρεῖον, ἀνένδοτον, ἀπαρέγκλιτον ὑφέσει πάσῃ. Ἰστέον δέ ὡς ἐπί γυναικῶν ἀνδριζομένων ἤ ἀρρενοφανῶν εἴρηται.

Ὁρᾶς δέ τάς: Περί τοῦ ἀλείμματος.

Καθ' οὕς ὑπ' ἀθλοθέτῃ: Ἐν ὑπερβατῷ ἡ σύνταξις τοῦ παρόντος χωρίου μεταξυλογίας συντεθείσης μακρᾶς. Οὕτως οὖν συντακτέον· Καθ' οὕς ὑπ' ἀθλοθέτῃ Χριστῷ γινόμενος, τοῖς μέν ἀγῶσιν, ὡς θείοις ὁ τελούμενος ἐπιβήσεται χαίρων, καί τά ἑξῆς.

Ο ΧΡΙΣΤΟΣ

Ὡς μέν Θεός ἀθλοθετεῖ.	Ὡς δέ σοφός νομοθετεῖ.	Ὡς δέ καλός καλλύνει τά ἆθλα.	Ὡς δέ ἀγαθός συναγωνίζεται.

(≡14E_356≡> Ἐπειδή ὡς Θεός: Ὅτι ὁ Χριστός Θεός ἐστι, κατά Νεστοριανῶν.

Ἐπιβάς: Περί τοῦ βαπτίσματος λέγει.

Τοῦ ἀθλητῶν πρώτου: Ἀθλητῶν πρῶτον τόν Κύριον λέγει, ὅς διά μόνην ἀγαθότητα ἰδίαν, πρός τό τοῦ θανάτου ἠγωνίσατο κράτος.

Ἀθλήσεσι: Διά τῆς ἀλοιφῆς δηλονότι τοῦ θείου μύρου.

Ἐνεργείας τε καί: Ἐνεργείας μέν τάς ἁμαρτίας καί τάς ἐμπαθεῖς ἐπιθυμίας καί κινήσεις φησίν· ὑπάρξεις δέ τάς ἐνεργητικάς τῶν δαιμόνων φύσεις· αἱ γάρ πονηραί πράξεις οὐκ ἐν ἰδίᾳ ὑπάρξει θεωροῦνται.

§ 7. Ἐπειδή θάνατός ἐστιν: Τί ἐστι θάνατος, καί ὅτι ἕνωσίς ἐστιν ἡ σύνθεσις ἡμῶν.

Ἀφανές ἄγουσα: Τοῦτο τό ἀφανές τινες ἔφησαν εἶναι τόν ἅδην, τουτέστι τόν ἀειδῆ καί ἀφανῆ γενόμενον τῆς ψυχῆς χωρισμόν, εἰς τόπους ἀοράτους τοῖς αἰσθητοῖς.

Σωματοειδῶν ἀλλοιώσεων: Πολλάκις γάρ ἀναστοιχειοῦται οὐ μόνον εἰς σκώληκας, ἀλλά καί εἰς ἄλλα ζῶα τό σῶμα. Ὅρα δέ, ὅτι καί τήν τοιαύτην μεταβολήν ἀλλοίωσιν καλεῖ, καί ὅτι ὁ θάνατος οὐ τῆς οὐσίας ἡμῶν ἐστιν ἀνυπαρξία, καί ὅτι ἡ ψυχή

ἐξιοῦσα τοῦ σώματος ἀφανής γίνεται, καί οὐκ εἰλεῖται περί τό σῶμα, ὥς τινες εἶπον, καί ὅτι ἡ κατάδυσις τοῦ ὕδατος ἀντί θανάτου καλῶς παρείληπται.

Τόν θεαρχικόν: Ὅτι θεαρχικόν θάνατον καλεῖ τήν τριήμερον τοῦ Κυρίου ταφήν, καί ὅτι τό ρῆμα ὅ εἶπεν ὁ Κύριος, «ἔρχεται ὁ ἄρχων τοῦ κόσμου τούτου, καί ἐν ἐμοί εὑρήσει οὐδέν», τοῦ λόγου φησίν εἶναι. Ἄρχοντα δέ τοῦ κόσμου καί τῶν ἐν ἀνθρώποις διαβολικῶν προαιρέσεων τόν Σατανᾶν λέγει, τόν τό κράτος ἔχοντα τοῦ θανάτου, κατά τόν Ἀπόστολον· ὡς ἐν Χριστῷ οὐδέν τῆς οἰκείας παραβάσεως εὗρεν· «ἁμαρτίαν γάρ (≡14E_358≡> οὐκ ἐποίησεν, οὐδέ δόλον», ὡς Ἠσαΐας φησί. Διό καί ἀδύνατον ἦν αὐτόν ὑπό τοῦ θανάτου κρατεῖσθαι, ὥς φησι Πέτρος, ἀλλ' ἀφείθη μόνος ἐν νεκροῖς ἐλεύθερος, κατά τόν Δαυίδ.

§ 8. Τό ἄκοσμον κοσμεῖται: Ἐπειδή τό σκότος ἐστίν ὁ ρυπαρός βίος, κατά τόν Ἀπόστολον, ἀκοσμότατόν τι ὑπάρχει καί ἀνείδεόν ἐστι, οὐκ ἔχον τό εἶδος τοῦ θείου φρονήματος (ἀποσκίασμα γάρ καί ἀντίφραγμα τῆς ἀρετῆς ἐστιν), εἰκότως τῷ φωτίσματι κοσμεῖται, καί εἶδος δέχεται φωτός ὁ προσιών, τέκνον φωτός γινόμενος, καί σπέρμα τοῦ Θεοῦ, ὅ ἐστι φῶς δεχόμενος, κατά τόν θεῖον Ἰωάννην. Ἀνείδεον δέ ἐν τοῖς οὖσι τό δυσειδές ἀπεκάλεσεν οὐχί τό εἴδους πάντῃ ἀμέτοχον, ὥσπερ καί τό δύσμορφον πολλάκις ἄμορφόν φαμεν.

Ἐπιγνῶναι νοερῶς: Ἐγώ μέν ὑπολαμβάνω σκοπῷ μετριοφροσύνης, ὡς ἀγνοοῦντα δῆθεν σιωπῆσαι τόν μέγαν Διονύσιον. Ὅτι μέν γάρ Πνεύματος προγνώσεως ἠξίωτο, δῆλον ἐν τῇ πρός τόν εὐαγγελιστήν Ἰωάννην ἐπιστολῇ πεποίηκεν· ὅμως τοῦτό μοι δοκεῖ σημαίνειν, ὅτι Χριστοῦ εὐωδία ὄντες πανταχῇ οἱ τοῦ θείου Πνεύματος ἠξιωμένοι, καί ἑνωθέντες αὐτῷ τῇ καθαρότητι κατά τόν Ἀπόστολον, αἰσθάνονται τῆς αὐτοῦ παρουσίας, τῷ γλώσσαις λαλεῖν ἤ προφητικόν ἔχειν χάρισμα ἤ ἰάσεις ἐνεργεῖν, καί ὅσα ἐν ταῖς Πράξεσι δηλοῦνται καί παρά τῷ θειότατῳ Παύλω. Ἄλλως· Οἱ ὡς πνευματικοί τά πνευματικά νοοῦντες καί τοῖς πνευματικοῖς συγκρίνοντες, καί τήν ἔνθεον καί πνευματικήν εὐωδίαν φησίν εἶναι Παῦλος, τούς τά εὐαγγελικά κηρύττοντας, ὡς ἐκ ζωῆς τῆς πίστεως ἡγουμένους ἐπί ζωήν τήν διά βαπτίσματος ἄφεσιν, καί τοῦ ἁγίου Πνεύματος δόσιν, καί βασιλειαν οὐρανῶν δι' ἔργων θεοπρεπῶν, τῶν καί εὐωδίας νοητῆς ὄντων δηλοῦντας· ὅθεν φιάλας θυμιαμάτων μεστάς τάς (≡14E_360≡> εὐχάς τῶν δικαίων Ἰωάννης ὁ θεῖος ἐν Ἀποκαλύψει θεωρεῖ. Δυσωδία δέ τοῦ διαβόλου τά τῆς ἁμαρτίας εἰσίν ἔργα, ὡς καί ἐν Ψαλμοῖς εἴρηται· «προσώζεσαν καί ἐσάπησαν οἱ μώλωπές μου ἀπό προσώπου τῆς ἀφροσύνης μου», τουτέστι τῆς ἁμαρτίας μου. Διό καί ὁ Χριστός μύρον ἐκκενωθέν κεχρησμῴδηται, καί ὀσφραίνεται ὀσμήν εὐωδίας Κύριος ἐν τῇ προσφορᾷ τοῦ δικαίου Νῶε. Ἐντεῦθεν καί τό Εὐαγγέλιον «τοῖς μέν ὀσμή ζωῆς», τοῖς πιστοῖς δηλονότι, «τοῖς δέ ἀπίστοις θανάτου», ἀντί τοῦ τοῖς ἀπίστοις καί ἀσεβέσιν, ὀσμή πάλιν εἰς θάνατον γίνεται, ἐλέγχον τά ἔργα καί κατακρῖνον εἰς γέενναν, ὅν τρόπον καί τό ἐξαίρετον πάνυ μύρον κατά ταὐτόν καί ἀνθρώπους ἡδύνει καί χοίρους ἀναιρεῖ, οὐ φέροντας τήν ἄκραν

εὐωδίαν. Ταῦτα πλατέως λέγει κάτω ἐν κεφαλαίῳ τετάρτῳ εἰς τό μύρον.

Ἐκ τῶν ἀποστολικῶν διατάξεων.

Ἔστι τοίνυν τό μέν βάπτισμα εἰς τόν θάνατον τοῦ Κυρίου διδόμενον, τό δέ ὕδωρ ἀντί τῆς ταφῆς, τό ἔλαιον ἀντί τοῦ Πνεύματος τοῦ ἁγίου, ἡ σφραγίς ἀντί τοῦ σταυροῦ, τό μύρον βεβαίωσις τῆς ὁμολογίας.

ΕΙΣ ΤΟ ΚΕΦΑΛΑΙΟΝ Γ'

Α'. Καθηγεμόνα τελετῶν: Τόν ἅγιον Ἱερόθεον λέγει.

α'. Ἱερογραφικῶς ἐκθέμενον: Τουτέστι κατά τήν ἱεράν διαγραφήν τῶν ἐμφανῶς τελουμένων.

Τό κοινόν: Κατά παράλειψιν τοῦ ὑπάρχοντός ἐστι.

β'. Κοινωνία τε: Περί κοινωνίας.

Ἡ τελείωσις ἐκ τῶν: Ὅτι ἀδύνατον τελεσθῆναι δίχα τῆς μεταλήψεως.

Ἐν κεφαλαίῳ: Τουτέστιν ἀναγκαιοτάτῳ λόγῳ.

(≡14E_**362**≡> Ἀτελής μέν: Ὅτι οὐδεμία σύναξις τελεσιουργεῖ δίχα τῆς μεταλήψεως.

Καί τό κεφάλαιον: Καί ἐνταῦθα τό κεφάλαιον ἐπί τοῦ ἀναγκαίου καί καιρίου εἴληπται.

Ἐπωνυμίαν αὐτῇ: Διά τί λέγεται φώτισμα, καί ὅτι δικαίως.

Ἐκ τοῦ τελουμένου: Καί ἐνταῦθα κατά παράλειψιν τοῦ ὑπάρχειν λαμβάνεται.

Β'. Ὁ μέν ἱεράρχης: Ἡ τάξις αὕτη ἐν τοῖς χρόνοις τοῦ Πατρός ἐπολιτεύετο ἴσως ἐν ταῖς κατά τόπον ἐκκλησίαις.

Ἁγιογράφων δέλτων: Ἁγιογράφους δέλτους καλεῖ τήν Παλαιάν καί τήν Νέαν Διαθήκην.

Καί πρός αὐτοῖς ἐνεργούμενοι: Τουτέστιν ὑπό πνευμάτων ἀκαθάρτων.

Τῶν λειτουργῶν δέ: Λειτουργούς φησι τούς διακόνους καί τούς νῦν ὑποδιακόνους λεγομένους.

Ἔκκριτοι: Ἔκκριτοι οἱ πρῶτοι διάκονοι, ἱερεῖς δέ οἱ πρεσβύτεροι.

Προτιθέασι: Τοῦτο κατά τήν ἐν Ρώμῃ κρατοῦσαν συνήθειαν. Ἐκεῖ γάρ ἑπτά μόνοι διάκονοι τῷ θυσιαστηρίῳ λειτουργοῦσιν, οὕς ἐκκρίτους, οἶμαι, καλεῖ, τούς δέ ἄλλους ἄλλην τινά ἐκτελεῖν λειτουργείαν· καί σημείωσαι κἀντεῦθεν τόν ἀρχαϊσμόν τοῦ Πατρός, καί ὅτι σύν τοῖς διακόνοις τόν ἄρτον οἱ πρεσβύτεροι προτιθέασι. Τοῦτο δέ καί πανταχοῦ γίνεται, ὀλίγων ὄντων διακόνων· ἐν Ρώμῃ δέ, οἶμαι, πάντοτε εἰκότως, διά τό μόνους ἑπτά τούς ἐκκρίτους τῷ θυσιαστηρίῳ λειτουργεῖν· τυχόν δέ καί βίῳ τῶν ἄλλων οἱ ἑπτά τυγχάνουσιν ἔκκριτοι.

Τῆς καθολικῆς: Ὅτι καί τότε πίστεώς τι σύμβολον προελέγετο, ἤ μᾶλλον ὅπερ τότε παρελάμβανον μάθημα καί συμμάθημα τῆς πίστεως.

Τῶν ἱερῶν πτυχῶν: Ὧδε οὐ πρῶτα τά δίπτυχα παρ' ἡμῖν, (≡14E_**364**≡> ἐπί δέ τοῦ Πατρός τούτου μετά τόν ἀσπασμόν τά δίπτυχα ἐλέγετο, ὥσπερ καί ἐν Ἀνατολῇ.

Οἱ τῶν λειτουργῶν ἔκκριτοι: Ὅτι οἱ πρῶτοι τῶν διακόνων μόνοι παρίστανται τῷ θυσιαστηρίῳ· τάχα δέ καί οἱ ἐν βίῳ τούτων ἔκκριτοι.

Καί ὑπ' ὄψιν ἄγει: Τουτέστι σαφηνίζει τά ὑμνούμενα· οἷον, ὅτι τόδε καί τόδε Χριστοῦ, καί τόδε Χριστοῦ. Ὑποδείκνυσι δέ καί τάς ἐπί τούτοις θείας δωρεάς, οἷον, ὅτι εἰς ἄφεσιν ἁμαρτιῶν, καί εἰς ζωήν αἰώνιον, καί ὅσα τοιαῦτα μυστικά. Τάχα δέ τό ὑπ' ὄψιν τοῦτο σημαίνει, ὡς τότε ἀποκαλυπτομένων τῶν ἁγίων δώρων, μετά τάς εὐχάς, μενόντων δέ κεκαλυμμένων, ἕως καιροῦ μεταλήψεως· ἤ τάχα τόν κουφισμόν καί τήν ὕψωσιν τῆς μιᾶς εὐλογίας τοῦ θείου ἄρτου φησίν, ὅν ὑψοῖ ὁ ἱερεύς, λέγων, «τά ἅγια τοῖς ἁγίοις», ὅπερ καί μᾶλλόν ἐστιν ἀληθές, ὡς περί τό τέλος τοῦ κεφαλαίου εὑρήσεις εἰρημένον.

Γ'. § 1. Τάς εἰκόνας ἐν τάξει: Εἰκόνας ἐκάλεσε τῶν ἀληθῶν τά νῦν τελούμενα ἐν τῇ συνάξει.

Ὡς οὐδέ τῶν συμβόλων: Ὅτι σύμβολα ταῦτα, καί οὐκ ἀλήθεια.

Αἱ μέν γάρ ἱερώταται: Τί οἱ ψαλμοί καί τά ἀναγνώσματα.

Εἰς μνήμην: Ὅτι «μετά τό δεῖπνον λαβών ἄρτον», καί τά ἑξῆς· καί ὅτι ὁ θάνατος αὐτοῦ καταγγέλλεται, ἄχρις οὗ ἔλθῃ, κατά τόν Ἀπόστολον καί αὐτόν τόν Κύριον φάσκοντα· «τοῦτο ποιεῖτε εἰς τήν ἐμήν ἀνάμνησιν», καί τά ἑξῆς. Καί σημείωσαι ὅτι ἀρχισύμβολον ἔφη τό μυστικόν τοῦ Κυρίου δεῖπνον, τῶν νῦν θείων μυστηρίων· καί ὅτι τόν ἀναξίως μεταλαμβάνοντα τοῦ ἄρτου· καί τοῦ ποτηρίου, οὐδέν ἡ μετάληψις ὠφελεῖ, μᾶλλον μέν οὖν καί εἰς κρῖμα αὐτοῦ λήψεται, κατά τόν Ἀπόστολον. Ἐκ δέ τῶν ἑξῆς εὐλόγως ἄν τις φαίη, ὅτι μετά τό ἐξελθεῖν τόν Ἰούδαν (≡14E_366≡> ἐκ τοῦ δείπνου παρέδωκεν ὁ Χριστός τοῖς μαθηταῖς τό μυστήριον.

Ὁμοτρόπως τά ἱερά: Τόν Ἰούδαν φησί. Καί σημείωσαι, ὅτι καί αὐτῷ μετέδωκε τοῦ μυστικοῦ ἄρτου καί τοῦ ποτηρίου, τά δέ μυστήρια τοῖς μαθηταῖς μετά τό ἐξελθεῖν τοῦ δείπνου τόν Ἰούδαν, ὡς ἀναξίου τούτων ὄντος αὐτοῦ.

Ὡς ἡ καθ' ἕξιν: Ἐν τούτοις τό κατ' ἐπίγνωσιν δηλοῖ, τουτέστι τό ἐνδιαθέτως οὕτως ἔχειν, καί οὐ κατά μόνην τήν σωματικήν προσέλευσιν, ἀλλά κατά τήν τῆς διανοίας διά πιστεως καί αἰσθήσεως πνευματικῆς.

§ 2. Ἀπό τῶν αἰτιατῶν: Τουτέστι τό ἀπό τῶν ὁρατῶν τελουμένων, ἐπί τά ἀόρατα καί μυστικά, ἅπερ τῶν ἐν αἰσθήσει αἴτιά εἰσι καί ἀρχέτυπα. Αἴτια δέ λέγονται τά ἑτέρωθεν τό ὁπωσοῦν εἶναι τήν αἰτίαν ἔχοντα, ἤ ἀπό τῶν αἰτιατῶν εἰς τά αἴτια, τουτέστιν ἀπό τῶν αἰσθητῶν συμβόλων ἐπί τά νοητά καί νοερά· ἤγουν, ἀπό τῶν ἀτελεστέρων εἰς τά τελειότερα· οἷον, ἀπό τῶν τύπων ἐπί τήν εἰκόνα, καί ἀπό ταύτης ἐπί τήν ἀλήθειαν. Σκιά γάρ τά τῆς Παλαιᾶς, εἰκών δέ τά τῆς Νέας Διαθήκης, ἀλήθεια δέ ἡ τῶν μελλόντων κατάστασις.

Κἆτα τήν ἱεράν: Κἆτα παροξυτόνως· δηλοῖ δέ τό, 'καί τότε'.

§ 3. Τῶν ἀγαλμάτων: Ἀγάλματα μέν φησι τάς εἰκόνας τῶν ἀοράτων καί μυστικῶν, ἤγουν τά συμβολικῶς τελούμενα· πρῶτον δέ τούτων τό τῆς συνάξεως μυστήριον ἀπεκάλεσεν, οὗτινος τό

νοητόν, ἤγουν τό κατά θεωρίαν δηλούμενον, ἀπογυμνοῦν ἐπαγγέλλεται.

Ἤ τε γάρ ὑπέρ πάντα: Ἰδού εἰς τρόπος τῆς θεωρίας τοῦ προκειμένου κεφαλαίου.

Οὐκ ἔξω τῆς: Σημείωσαι τήν κατ' οὐσίαν ἀκίνητον στάσιν, καί ὅτι Θεοῦ τύπος ὁ ἐπίσκοπος. Σημείωσαι, ὅτι κατά τρεῖς τρόπους ἀνάγεται τά περί τοῦ θυμιᾷν· ἀπό τοῦ θυσιαστηρίου ἀρχόμενον τόν ἱεράρχην καί πάντα τόν ναόν περιελθόντα, εἰς αὐτό πάλιν ἀποκαθίστασθαι.

(≡14E_368≡> Ὡσαύτως: Τρόπος ἕτερος.

Τρόπον, ὁ θεῖος: Τρόπος τρίτος τῆς προκειμένης θεωρίας, πῶς καί ἐπί τοῦ ἐπισκόπου ἀπό τοῦ ἑνός πληθύνεται, τοῖς δέ ἥττοσιν ἀκατάσχετός ἐστι, τουτέστι μή ἐπικοινωνῶν τοῖς χείροσιν.

§ 4. Ἡ δέ τῶν ψαλμῶν: Τί οἱ ψαλμοί. Καί σημείωσαι τό συνουσιωμένη· ἀλλά καί ὅτι 'σχεδόν' προσέθηκεν· οὐ γάρ ἀλλήλοις ἥνωται ταῦτα κατ' οὐσίαν, ἀλλά τῷ πρός ἕνα σκοπόν τά πάντα συντελεῖν, τουτέστιν εἰς τήν τῶν ἀνθρώπων σωτηρίαν, ἔφη τό συνουσιωμένη· ὅθεν εὐθύς ἐπήγαγε τό σχεδόν, κολάζων τήν ἀπό τῆς λέξεως ἐναντίωσιν. Κατωτέρω δέ μίαν ἔμπνευσίν φησι, τουτέστι μίαν σύμπνοιαν, ὅ δηλοῖ τό, ἕνα πάντων εἶναι σκοπόν.

Πᾶσα μέν γάρ ἱερά: Τῶν τῆς Παλαιᾶς βιβλίων κατ' ἐπιδρομήν ἐπίμνησις.

Τῶν ἀνιώντων: Λυπούντων, ὡς ἐπί τοῦ Ἰώβ.

Ἐρώτων ἄσματα: Περί τοῦ ἔρωτος τῶν ἀσμάτων.

Ἤ τάς ἀνδρικάς: Ἐντεῦθεν ὁμοίως τά Νέας εἰσάγει.

Ἀγαπητοῦ καί: Νομίζω ὡς τήν Ἀποκάλυψιν τοῦ θείου Ἰωάννου δηλοῖ, ἤ τό Εὐαγγέλιον αὐτοῦ, ὅ καί μᾶλλον.

§ 5. Συνερρίζωσε: Συνείλκυσεν.

Ἡ δέ τῶν θείων: Ὁ σκοπός τῶν ψαλμῶν ἐστι, φησί, τό ὑμνῆσθαι Θεόν τε καί τούς αὐτοῦ γνησίους θεράποντας, ὑπαγορευτικήν τῶν τοιούτων καί περιεκτικήν ἐχόντων δύναμιν· ἥτις, φησίν, ἀναγκαίως ἐν πᾶσι τοῖς ἱερατικῶς τελουμένοις παραλαμβάνεται, ἔμμονον τήν τῶν ψαλμῶν μνήμην ἐμποιοῦσα τοῖς ψάλλουσι.

Θεουργίας: Μεγαλειότητας.

Καί τῇ τῶν θειων ᾠδῶν: Σημείωσαι, ὅτι τό τῆς ψαλμῳδίας σύμφωνον ὁμοφροσύνης τῆς πρός Θεόν καί ἑαυτούς ὑπάρχει διδασκαλία.

(≡14E_370≡> Συντετμημένα: Ὅτι τά συντετμημένα, τουτέστι τά ἀσαφῇ, διά τῶν ἐπιτελουμένων συμβόλων σαφηνίζεται· τοῦτο γάρ δηλοῖ τό 'εὐρύνεται'. Σημείωσαι, δέ ὅτι τά συνεσκιασμένως ἐν τοῖς ψαλμοῖς λεγόμενα, διά τῆς τῶν Γραφῶν ἀναγνώσεως σαφηνίζεσθαι λέγει ὁ Πατήρ.

Ἐν ταύταις: Ἐν ταύταις γάρ, ταῖς Γραφαῖς δηλονότι, ὁ ἀκριβῶς ἐνορῶν, γινώσκει, ὅτι ἕν καί τό αὐτό Πνεῦμα πάσας ἐλάλησε.

Κηρύσσεται: Ὡς σαφηνίζουσα δι' ἑαυτῆς τήν Παλαιάν.

Ὁ μέν ἔφη τάς: Ὡς ἡ μέν, ἡ Παλαιά Διαθήκη, ἔφη, ἡ δέ Νέα ἐτέλεσε.

Τῆς θεολογίας: Σημείωσαι, ὅτι τήν Παλαιάν Γραφήν θεολογίαν καλεῖ, τήν δέ Καινήν θεουργίαν.

§ 6. Καθόλου τῶν: Οἱ καθόλου ἀκατήχητοι καί ἀνήκοοι τούτων ἑλόμενοι ἑκουσίως.

Τῆς θεογενεσίας: Τουτέστι τοῦ ἁγίου βαπτίσματος.

Τούς δέ κατηχουμένους: Περί τῶν κατηχουμένων καί ἐνεργουμένων καί ἐν μετανοίᾳ ὄντων, καί τίνων μετέχουσιν.

Ἡ μέν οὖν ἐσχάτη: Ὅτι οἱ κατηχούμενοι, ἔσχατοί εἰσιν.

Ἀμέθεκτοι: Ἀμέτοχοι.

Μαιευόμενοι: Ἀναγεννώμενοι.

Ἀμβλωθρίδια: Νεκροτόκια.

§ 7. Ἀνίερος μέν καί αὐτή: Ἀτελείωτος. Σημείωσαι, ὅτι τοῖς ἐνεργουμένοις κατατάττει καί τούς τοῖς σωματικοῖς θελκτηρίοις ἀμετανοήτως ἐπιμένοντας, οἷον τούς πόρνους, τούς φιλοθεάμονας, καί τούς τά παραπλήσια μετιόντας, οὓς ἐξονομάζων ὁ θεῖος Ἀπόστολος ἐπιφέρει, τῷ τοιούτῳ μηδέ συνεσθίειν. Ταῦτα καί ἐν τοῖς ἑξῆς μᾶλλον τρανοῖ. Ἰστέον δέ, ὅτι ἡ ἀκρίβεια (≡14E_372≡> αὕτη νῦν τῆς τῶν τοιούτων διαστολῆς τε καί διαστάσεως οὐ γίνεται.

Ὁ τοιοῦτός ποτε: Σημείωσαι, ὅτι ὁ Θεῷ ἡνωμένος οὐκ ἐνεργηθήσεται ὑπό ἀκαθάρτου πνεύματος.

Ἐναγεστάτην ἐνέργειαν: Ὅτι ὑπέρ τούς καταπίπτοντας δαιμονῶσιν οἱ ἀσελγεῖς.

Τά μέν ὄντων: Ὅτι τά ὄντως ὄντα τάς ἀρετάς λέγει.

Τήν πρόσυλον: Ἐπειδή καί ἡ ὕλη πολυπαθῶς ἀλλοιοῦται.

Ἐν τοῖς ἀλλοτρίοις. Σημείωσαι, ὅτι ἀλλότρια ἡμῶν ἐστι τά πρός ἁμαρτίαν· οὐ γάρ φυσική ἡμῶν ἐστιν ἡ ἁμαρτία, ἀλλ' ἡ εἰς πᾶν ἔργον ἀγαθόν ἐπιτηδειότης, κατά τόν Ἀπόστολον, καί τό ἐν ψαλμοῖς· «καί ἀπό ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου». Ἔνθεν νοεῖς καί τό εἰρημένον παρά Κυρίου· «εἰ δέ ἐν τῷ ἀλλοτρίῳ πιστοί οὐχ εὑρέθητε, τό ὑμῶν τίς ὑμῖν δώσει;». Διά τοῦτο καί τά ἀλλότρια ταῦτα οὐκ ὄντα λέγεται· οὐ γάρ τῆς φύσεώς εἰσιν, ἀλλά νόθα· τό δέ κατά φύσιν πράττειν ὄν ἐστι καί ἡμέτερον. Ἄλλως. Ἀλλότρια ἔφη τά κατά κόσμον, ὡς οὐ τινός ἰδικῶς [ἴδια], ἀλλ’ ἐξ ἄλλων εἰς ἄλλους μεταπίπτοντα ἤ καί ὡς οὐκ οὔσης ἐν τούτοις διά παντός τῆς ἡμετέρας διαγωγῆς, ἀλλά πρός ἕτερον βίον ὁρώσης, ἐφ' ᾧ καί γεγόναμεν.

Τοῦ λειτουργοῦ: Τουτέστι, μή τινες τῶν ἐνεργουμένων ἐμπαθῶσιν, ὡς ἑξῆς φησιν.

Ἡ τῶν ἐμπαθῶς: Ἀπόδειξις ἐναργής.

Ἐπειδή δέ τοῦ θείου: Περί τῆς τάξεως τῶν ἀπολυομένων.

Ἀμύητοι: Οἱ κατηχούμενοι, οἱ ἀσελγεῖς.

Δείγματά τε: Ἐκτυπώσεών τε χλευάσματα.

Δι' ἀνανδρίαν: Σημείωσαι, πόθεν φησίν ὑπό δαιμόνων ἐνοχλεῖσθαί τινας τῶν πιστῶν.

(≡14E_374≡> Ἕξει καί ἔρωτι: Οἱονεί τῇ μετανοίᾳ.

Οἱ πανίεροι: Οἱ πιστοί καί πρός Θεόν καί πρός ἀλλήλους ἡνωμένοι.

α'. Καθολικῇ: Καθολικήν ἔφη τήν ὑμνολογίαν, ἤ ὡς ὑπό πάντων ἀδομένην, ἤ ὡς ὑπέρ καθολικῆς χάριτος γινομένην.

β'. Τόν ὕμνον δέ τοῦτον. Σημείωσαι, ὅτι τόν ὕμνον, σύμβολον καί ὁμολογίαν καί εὐχαριστίαν ἐκάλεσε.

Δοκεῖ γάρ μοι: Πρός τί πέρας ὁρᾷ τό σύμβολον.

γ'. Τήν μέν οὐσίαν: Τουτέστι κατά τόν τοῦ Ἀποστόλου λόγον εἰπόντος, «πάντα γάρ ἡμῶν ἐστιν». Ἀρχέτυπα δέ κάλλη φησί τά τῇ θεία φύσει ἐπιθεωρούμενα, ὧν τήν κατά τό ἐνδεχόμενον μετουσίαν τοῖς ἀνθρώποις ἐδωρήσατο, ἤ τό κατ' εἰκόνα λέγει καί καθ' ὁμοίωσιν.

δ'. Ἐπισκευαστοῖς. Τουτέστι τοῖς ἐξ αὐτοῦ κατασκευαζομένοις ἀγαθοῖς εἰς ἡμᾶς.

ε'. Παντελεῖ τῶν: Σημείωσαι, τί φησι περί Χριστοῦ, ἤγουν τῆς τελείας αὐτοῦ ἐνανθρωπήσεως, καί κατά Ἀπολλιναρίου.

Ὁ θεῖος ἄρτος: Σημείωσαι, ὅτι οὐ μόνον ὁ ἅγιος ἄρτος κεκαλυμμένος προετίθετο, ἀλλά καί τό θεῖον ποτήριον, ὅπερ νῦν οὐ γίνεται.

§ 8. Θειότατος ἀσπασμός: Σημείωσαι, διά τί ὁ ἀσπασμός δίδοται.

Ἐπιθυμίας, ἐξ: Σημείωσαι, ὅτι αἱ ἐμπαθεῖς ἐπιθυμίαι μερισταί εἰσι, μερίζουσαι ἡμᾶς καί τοῦ Θεοῦ καί ἀλλήλων, τάχα δέ καί ἑαυτῶν.

Ὁμοειδεῖς ἀπέχθειαι: Τουτέστι πρός τούς ὁμοίους ἀνθρώπους.

§ 9. Πτυχῶν: Διά τί μετά τόν ἀσπασμόν δίπτυχα ἀναγινώσκεται.

(≡14E_376≡> Τούς ὁσίως: Σημείωσαι, ὅτι τά δίπτυχα τῶν ἀποθανόντων ἐπί αὐτοῦ μόνον ἀνεγινώσκετο, οὐχ, ὡς νῦν, καί τῶν ζώντων.

Ἡ θεολογία φησί: Ταῦτα ἐκ τῆς λεγομένης Σοφίας Σολομῶντος· καί σημείωσαι, ὅτι καί οὗτος ὁ ἅγιος πατήρ ταύτῃ ἐχρήσατο.

Σκόπει δέ: Τοῦτό φησιν, ὅτι τό λεγόμενον ἐν προφήταις ἀναμνῆσαι ἐνώπιον Κυρίου, οὐχ οὕτω δεῖ νοεῖν, ὡς τῆς μνήμης τοῦ Θεοῦ ἀνανεουμένης· ἐν τῇ φαντασίᾳ τοῦ μνημονικοῦ, ὅπερ ἐπί τῶν ἐν σαρκί προσδεδεμένων νοερῶν, τουτέστιν ἡμῶν, συμβαίνει, ἀλλά μνήμη Θεοῦ εἰκότως λέγοιτ', θεοειδεῖς ἐν αὐτῷ γενομένους δι' ἐναρέτου βίου, καί ἀξιωθέντας τῆς ἀνεπιλήστου περί αὐτόν γνώσεως. Σημείωσαι πῶς λαμβάνει τό ρητόν τοῦ ψαλμοῦ.

Συμβόλων: Τοῦ σώματος καί αἵματος.

§ 10. Ὕδατι τάς: Τί τό νίψασαι τάς χεῖρας, καί πότε.

Φησίν, ὁ λελουμένος: Σημείωσαι, πῶς λαμβάνει ὁ πατήρ τό τοῦ Κυρίου ρητόν, τό λέγον, «ὁ λελουμένος οὐ χρείαν ἔχει τούς πόδας νίψασθαι». Ἡ δέ σύνταξις τῶν προκειμένων πρός τό ὑπαινίσσεται τήν ἀπόδοσιν ἔχει, ἵν' ᾖ τό λεγομένον οὕτως· Ὅτι μέν τόδε ἐστίν, ὑπαινίσσεται, ὁ λουτήρ μέν ἐν τῇ νομικῇ λατρείᾳ, ἐν δέ τῇ καθ' ἡμᾶς ἡ τῶν χειρῶν ἀπόνιψις. Τό δέ ἄσχετος καί ἀπόλυτος δηλοῖ, ὡς τῇ ἥττονι οὐκ ἐνεχθήσεται ἀγωγῇ καί διαθέσει. Ἄλλως· Ἡ καθ' ὑπέρβασιν τῆς συντάξεως ταύτης ἀνάγνωσις οὕτως

ἁρμοσθήσεται· ὅτι μέν οὖν, ὡς τά λόγιά φησιν, ὁ λελουμένος οὐ δεῖταί τινος ἑτέρας καθάρσεως, εἰ μή τῆς τῶν ἄκρων, εἴτ' οὖν ἐσχάτων, ἑαυτοῦ νίψεως, δι' ἧς (≡14E_378≡> ἀκροτάτης καθάρσεως ἐν πανάγνῳ τοῦ θεοειδοῦς ἕξει ἄχραντον ποιήσεται· καί ἀκηλίδωτον τήν ἐπιστροφήν, καί πρός τά δεύτερα προϊών ἀγαθοειδῶς· ὡς τοῦ θεοειδοῦς ἀποσώζων τό πλῆρες καί ὁλόκληρον, ἄσχετος ἔσται καί ἀπόλυτος, ὡς καθάπαξ ἑνοειδής καί πρός τό ἕν αὖθις ἑνιαίως ἐπιστρεφόμενος.

Εἰ μή τῆς τῶν ἄκρων: Τί ἐστι τό μή δεῖσθαι τόν λουσάμενον ἑτέρας νίψεως, εἰ μή τά ἄκρα νίψασθαι· δεύτερα δέ φησι τά αἰσθητά, εἰς ἅ διά φαντασίας προσπάσχει ἡ ψυχή.

Ὁ μέν ἱερός: Σημείωσαι, ὅτι οὐ λουτήρ ἦν ἐν τῷ νόμῳ καί ὅτι σύνταγμα ἔχει ἄλλο περί τῆς κατά νόμον ἱεραρχίας, ὅπερ οὐ φέρεται.

Τοῦ ἱεράρχου: Σημείωσαι τό ἔνθεον τοῦ ἱερέως, τό ἀληθῶς τελειότατον.

Ἱερουργίαν ἀποκεκαθάρθαι: Τῇ θείᾳ ἱερουργίᾳ δηλονότι.

Ἐσόπτρων ἀγλαΐαν: Ἔσοπτρά φησι τάς τῶν ἁγίων ψυχάς, ὡς τοῦ θείου φωτός δεκτικάς καί τῆς κρείττονος λήξεως ἀφομοιωτικάς.

Ἐφιέντων διϊέναι: Καί νῦν Ἀττικίζων, ὡς Ἀθηναῖος, συνέταξε τό ρητόν, φάσκων, τῶν μαρμαρυγῶν ἐξιέντων τήν οἰκείαν αἴγλην, δέον πρός θηλυκόν τῶν μαρμαρυγῶν ἐφιεισῶν εἰπεῖν, ὅ δή καί ἄνω ἐν κεφαλαίῳ ζ' τοῦ Περί οὐρανίας ἱεραρχίας βιβλίου πλατύτερον ἐδείξαμεν, ὡς Ἀττικόν τό σχῆμα. Ἐκεῖ οὖν ἀνάγνωθι.

Ἡ δέ τοῦ ἱεράρχου: Σημείωσαι, διά τί ἐπί τοῦ θυσιαστηρίου νίπτεται ὁ ἱεράρχης, ἤτοι ἐπί τῶν ἁγίων, τουτέστιν ἔμπροσθεν αὐτῶν.

Καί τῆς ἀκροτάτης: Τῆς ἄκρας καθάρσεως δηλαδή.

Καί ὑπ' ὄψιν: Μᾶλλον τότε ἔμενον κεκαλυμμένα τά θεῖα δῶρα, ἕως καιροῦ τῆς ἁγίας μεταλήψεως· καί τοῦτο δηλοῖ μετ' (≡14E_380≡> ὀλίγα. Ἤ τό γε ἀκριβές, ὅτι κουφίζων ὁ ἱεράρχης τόν ἅγιον ἄρτον, ἐδείκνυ τήν εὐλογίαν, λέγων, «τά Ἅγια τοῖς ἁγίοις».

§ 11. Τινάς μέν οὖν: Τάς εἰς ἡμᾶς προνοίας πάσας ὀλίγοι ἴσασι, τάχα δέ οὐδέ ὀλίγοι ἴσασι· καί περί τίνος ἡ προσκομιδή.

Ἀρωγόν: Βοηθόν.

Τήν ἀνθρωπείαν: Περί τῆς τῶν ἀνθρώπων ἀποπτώσεως.

Ὑπερβασία: Παραβασία,

Οἰκείαις ροπαῖς: Ὅ ἐστιν αὐθαιρέτως. Ἡ δέ σύνταξις πρός τά ἄνω εἰρημένα ἐστίν· εἶπε γάρ, ὅτι τήν ἀνθρωπείαν φύσιν ἡ πολυπαθεστάτη ζωή διαδέχεται, τά δέ ἄλλα διά μέσου, ἀπό τοῦ 'ἀκολούθως γάρ' ἕως τοῦ 'ἔνθεν ἐλεεινῶς'.

Θελκτικαῖς: Θεραπευτικαῖς.

Τό τῆς ἀρχῆς: Ἐπειδή καί ἀρχήν τῆς συστάσεως ἐκ γῆς ἔχομεν, τό γάρ σωματικόν ἡμῶν ἐξ αὐτῆς, εἰκότως μετά τήν παράβασιν καί τό τέλος πρόσφορον ἔχομεν τῇ ἀρχῇ· εἰς γῆν γάρ ἀναλύοντες· ἐπεί ἐρρήθη, ὅτι «γῆ εἶ, καί εἰς γῆν ἀπελεύσῃ».

Πέρας: Τουτέστι τόν θάνατον.

Ἀναγώγου ζωῆς: Ἀναγωγόν δέ ζωήν τήν τά ἄνω ζητοῦσαν καί πρός Θεόν ἐπεστραμμένην φησι.

Πολυπαθεστάτην ἀλλοίωσιν: Τί ἐστιν ἀλλοίωσις ἐπί σωμάτων, ἐν τῷ Περί τῶν θείων ὀνομάτων διεξήλθομεν.

Δυσμενεῖς: Ταλαιπώρους.

Εἰς ἀνυπαρξίας οἰκτρῶς: Εἰς ἀνυπαρξίαν δέ διά τήν ἁμαρτίαν· ὁ γάρ ἁμαρτωλός τρόπον τινά οὐχ ὑπάρχει· τό γάρ κακόν ἀνύπαρκτον.

Ἀπειροτάτη φιλανθρωπία: Περί τῆς ἐνανθρωπήσεως, ὅτι ταύτην φιλανθρώπως ἐνήργησεν.

(≡14E_382≡> Αὐτουργόν ἡμῶν: Σημείωσαι τήν ἀκρίβειαν τῶν δογμάτων, ἐν πολυπληθείᾳ λέξεων φραζομένην καί πολεμοῦσαν πάντας αἱρετικούς· τό μέν γάρ αὐτουργόν γενέσθαι τήν εἰς ἡμᾶς πρόνοιαν τοῦ Θεοῦ δηλοῖ, ὅτι αὐτός ἦν ὁ Θεός Λόγος· οὐ μήν ἄλλος ἐν ἄλλῳ, ὥς τινες μαίνονται σύν Νεστορίῳ. Τό δέ ἐν ἀληθεῖ μεθέξει πάντων τῶν ἡμετέρων ἀναμαρτήτως καί Μανιχαίους καί Εὐτυχιανιστάς καί Ἀπολλιναριστάς καί Ἀκεφάλους καί πάντας ἁπαξαπλῶς τούς αἱρετίζοντας καταβάλλει.

Ἕξεως: Τό ἕξεως ἐνταῦθα οὐ ποιότητός τινος ἐμμόνου νοητέον, ἀλλά καθέξεως καί διαμονῆς, ἤτοι κατασχέσεως.

Οὐ κατά δύναμιν: Σημείωσαι, ὅτι οὐκ ἐν ἰσχύϊ ἐνίκησεν ὁ Χριστός τόν Σατανᾶν, ἀλλά κρίσει καί δικαιοσύνῃ. Τοῦτο καί Γρηγόριος ὁ Νύσσης ἐν τῷ Κατηχητικῷ φησιν.

Ὀλβίου: Πλουσίου.

Ἀνείδεον κάλλεσι: Καί ἀνωτέρω οὕτως ἔφημεν, ὅτι ἀνείδεον τό τῆς ἀγνοίας σκότος φησί. Σημαίνει δέ τήν ἐλευθερίαν ἡμῶν.

Ἐναγεστάτων: Μεμιασμένων.

§ 12. Δεῖ ταῖς ἱεραρχικαῖς: Τῆς θεαρχικῆς ἀγαθότητος, ὡς ἔφη ἐν ἀρχῇ τοῦ κεφαλαίου.

Ὑμνήσας δέ καί: Τουτέστι τόν ἄρτον καί τό ποτήριον εὐλογῶν τῶν ἁγίων δώρων. Σημείωσαι δέ ὅτι πανταχοῦ συμβολικήν λέγει τήν θείαν ἱερουργίαν, καί τά ἅγια δῶρα σύμβολα τῶν ἄνω καί ἀληθινωτέρων.

Τόν γάρ ἐγκεκαλυμμένον: Οὕτω καί πρό ὀλίγου εἴρηται, ὅτι κεκαλυμμένον ἔμενε τό θεῖον δῶρον ἕως καιροῦ μεταλήψεως, εἰ μή ἄρα κεκαλυμμένον λέγεται τό ἀπό τῶν πολλῶν καί ἔξω ἑστώτων, καί ἁπλῶς λαϊκῶν ἀποκεκρυμμένον.

Τό γάρ ἕν καί ἁπλοῦν: Ἐπειδή καί ψυχήν νοεράν καί (≡14E_384≡> σῶμα γῆϊνον ἔλαβε. Ἐξ ἡμῶν εἰδοποιούμενον, τοῦτ' ἔστι τό καθ' ἡμᾶς εἶδος, ἤγουν τήν φύσιν λαβών. Σημείωσαι δέ πῶς κοινωνοί θείας φύσεως γινόμεθα Χριστῷ ἑνούμενοι. Σημείωσαι καί τά περί τῆς οἰκονομίας, καί τίς ὁ φανείς, καί τίς ἡ κλάσις τοῦ ἄρτου καί διανομή.

Κατ' ἄκρον: Τουτέστι κατ' ἄκρον ἕνωσιν καί τελείαν, καί οὐσιώδη καθ' ὑπόστασιν ἀληθῆ.

Ἀλωβήτου: Ἀβλαβοῦς.

Χρή γάρ ἡμᾶς: Σημείωσαι τίς ὁ σκοπός τοῦ Χριστιανισμοῦ,

§ 13. Ὑπ' ὄψιν ἄγων: Περί τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐνταῦθά φησιν οὐ συμβολικῶς, ὅν καί νοητήν ἡμῶν ἔφη ζωήν. Τό

δέ 'παντελεῖ', ἐπειδή καί ψυχήν νοεράν καί σῶμα γήϊνον ἀνέλαβε. Καί καλῶς εἶπεν 'ἀσυγχύτῳ ἐνανθρωπήσει'· ἔμεινε γάρ Θεός ἄνθρωπος ὀφθείς, καί ἑκατέρας φύσεως σώζων τά ἰδιώματα· καί σημείωσαι κατά Ἀπολλιναριστῶν.

Ἐξ ἡμῶν εἰδοποιούμενον: Τουτέστι τό καθ' ἡμᾶς εἶδος, ἤγουν τήν φύσιν λαβόντα,

Κοινωνοί Θεοῦ: Σημείωσαι πῶς κοινωνοί θείας φύσεως γινόμεθα, Χριστῷ ἑνούμενοι.

§ 14. Εἰς εὐχαριστίαν: Περί εὐχαριστίας.

Μεταδόσεως ἡγεῖται: Κατά κοινοῦ τό ἡγεῖται, ἤγουν προηγεῖται· ὅτι πρῶτον δεῖ τόν ἱερέα μεταλαμβάνειν, καί οὕτω μεταδιδόναι. Οὐκοῦν ἡ μετοχή ἡγεῖται, καί ἡ μετάληψις τοῦ προσκομίσαντος τῆς μυστικῆς διανεμήσεως τῶν λοιπῶν.

Ταῖς ἐνθέοις διδασκαλίαις: Ὁποῖον δεῖ τόν ἱερέα εἶναι.

Οἱ τολμηρῶς ἀποκεχρημένοι: Ὅ λέγει τοῦτό ἐστιν· ὥσπερ ὁ ἱερεύς μή πρῶτος μεταλαμβάνων τῶν ὑπ' αὐτοῦ προσκομισθέντων, ἀνίερός ἐστιν, οὕτω καί οἱ τολμῶντες διδάσκειν ἄλλους, (≡14E_386≡> μή πράττοντες ἅ διδάσκουσιν, ἀνίεροί εἰσι· δεῖ γάρ ποιεῖν, καί οὕτω διδάσκειν, κατά τό εἰρημένον ὑπό τοῦ Κυρίου· «ὁ ποιήσας καί διδάξας, οὗτος μέγας κληθέσεται».

Θεσμοθεσίας: Τοῦ θείου νόμου.

Οὐ τολμητέον: Φοβήθητι πάνυ.

Ἁρμοστήν: Τουτέστιν ἁρμόδιον. Ἁρμοστήν ἔλεγον οἱ Λακεδαιμόνιοι τόν καθισταμένον ὑπ' αὐτῶν ἄρχοντα τῶν ὑποκειμένων αὐτοῖς πόλεων, παρά τό ἁρμόζειν τούς ἀρχομένους ζῇν κατά τούς νόμους, ὅθεν καί ἁρμοστήρας πάλιν ἐκάλουν Ἀθηναῖοι τούς εἰς τό εὖ ζῇν διατάττοντας, ὡς σαφῶς Πλάτων ὁ κωμικός δηλοῖ ἐν Πρέσβεσι τῷ δράματι. Καί ἐνταῦθα τοίνυν 'ἁρμοστήν' τόν ἄρχοντα τῆς Ἐκκλησίας ἐπίσκοπον οἰκείως ὠνόμασε.

§ 15. Τῇ γάρ ἱερᾷ: Σημείωσαι τί ἐστι τό, «γεύσασθαι καί ἴδετε».

ΕΙΣ ΤΟ ΚΕΦΑΛΑΙΟΝ Δ'

Α'. Οὕτω πρός τό ἕν: Τουτέστι πρός τό νοητόν καί πνευματικόν.

Εὐόσμου περιαγωγῆς: Ἀντί τοῦ θυμιάσαντος τοῦ ἐπισκόπου πᾶσαν τήν ἐκκλησίαν.

Β'. Μελῴδημα: Τό «Ἅγιος» δηλονότι, ἤ καί τό «Ἀλληλούϊα».

Καί τήν ἐπ' αὐτῷ: Δι' αὐτοῦ γάρ ἅπαν ἅγιον τελειοῦται.

Γ'. § 1. Τοῖς ἱεροῖς: Σημείωσαι ἀληθῶς θεῖον λόγον, ὅτι δεῖ τούς θείους ἄνδρας κεκαλυμμένας ἔχειν ἀπό δόζης κενῆς τάς τῆς ἀρετῆς πράξεις.

Ἄγαλμα: Εἰκών.

(≡14E_388≡> Εἰ θέμις: Εἰ δίκαιον.

Ἐν τῇ εἰκόνι: Εἰ καί τό ἀπαράλλακτον καί πάντῃ ὅμοιον ἔχει ἡ εἰκών πρός τό ἀρχέτυπον, ἀλλ' ἡ οὐσία, φησί, διάφορος· ἡ μέν γάρ ἄψυχος, τό δέ ἔμψυχον· καί τό μέν ἀληθινόν ζῶον ἔμπνουν, τό δέ τοῦ ζωγράφου ἔργον ἐκ κηροῦ καί χρωμάτων· ἐν τούτῳ τοίνυν

τῆς διαφορᾶς θεωρουμένης, ἡ ταυτότης ἐν ἀμφοτέροις τῇ ὁμοιότητι διάφορος.

Ἴνδαλμα: Ὁμοίωμα.

Εἰκότως: Πρός τό θεῖον κάλλος δηλονότι.

Δρῶσι: Πράττουσιν.

Εἰς τό θεαθῆναι: Σημείωσαι, πῶς ἐκλαμβάνει τό μή δεῖν ἡμῶν τάς εὐποιίας ἐκπομπεύειν.

Εἰσίν εὐωδίας: Τουτέστιν, ὁ Θεός (τοῦτο γάρ ἡ εὐωδία), τό ἀληθῶς καλόν ἀφ' ἑαυτοῦ ποιῶν, εἰς ἅπαντας οὐκ ἐπιστρέφειται, τουτέστιν οὐ φροντίζει κενοδόξως τῶν μή ἀποδεχομένων ἔσθ' ὅτε τάς παρ' αὐτοῦ κρίσεις, οὐδέ ἐπιτηδεύει δόξαν ἔχειν παρά ἀνθρώποις.

§ 2. Ὡς κρυφίων: Πολλάκις ἐν τῷ Περί θείων ὀνομάτων ἐδηλώσαμεν, τί νοητόν καί τί νοερόν. Τοῦτο οὖν καί ἐνταῦθά φησιν, ὅτι τῷ ἐπισκόπῳ, ἁγίῳ ὄντι, ὡς συγγενεῖ τοῦ θείου φωτός ἀποκαλύπτει ὁ Θεός, οὐ δι' ἑτέρου διδασκάλου, ἀλλ' αὐτός αὐτόν φωτίζων, τό μυστήριον τῆς θεωρίας καί τοῦ μύρου· διό αὐτῷ τῷ ἐπισκόπῳ οὐ περίκειται κάλυμμα κατά τοῦ θείου μύρου, ἀλλ' «ἀνακεκαλυμμένῳ προσώπῳ», κατά τόν Ἀπόστολον, θεωρεῖ τά μυστήρια, τοῖς δέ μή τελείοις, χρεία συμβόλων· διό ταῖς πτέρυξι κεκαλυμμένον γίνεται τό ἅγιον μύρον τοῦ Θεοῦ καί τόν λαόν, καί διά τῆς ἑρμηνείας ἀποκαλύπτοντος τά σύμβολα. 'Θεωρούς' δέ καλεῖ τούς ἐπισκόπους, ἐπειδή καί παρ' Ἕλλησι (≡14E_390≡> θεωροί ἐκαλοῦντο οἱ προβαλλόμενοι παρά πάντων ἐπερωτᾶν τόν Θεόν περί μελλόντων, καί θυσίας ὑπέρ αὐτῶν προσφέρειν καί ἐξιλεοῦσθαι ὑπέρ αὐτῶν. 'Ἀνομοίους' δέ καλεῖ τούς ἀτελεῖς τοῦ λαοῦ· τοῦτο γάρ αὐτῷ ἔθος. Οὐδέ γάρ ἀποκρύπτεται τούς νοερούς, ἀλλ' ἀφανής ἐστι τοῖς βιβλίοις.

Αἰνιγμάτων: Δι' αἰνιγμάτων γάρ καί συμβόλων πρός τήν ἑαυτῶν ἀσθένειαν αὗται αἱ τάξεις φωτίζονται.

§ 3. Τῆς τῶν ἱεραρχικῶν: Τελειοῖ γάρ πάντα τό θεῖον μύρον ἐπιχριόμενον, ὥσπερ ἡ μετάληψις τοῦ ἁγίου σώματος καί αἵματος.

Τῶν θείων: Πάντες γάρ εὐωδιαζόμενοι τῆς θείας μυστικῆς εὐωδίας μεταλαμβάνουσιν ἀναλόγως.

Ἐνεργουμένων: Τῶν δαιμονώντων καί εἰς ἀσέλγειαν τετραμμένων, περί ὧν καί ἐν τῷ πρό τούτου κεφαλαίῳ φησι: 'Πτοίαν' δέ λέγει, οἱονεί θόρυβον, φόβον, πτόησιν, ἀπάτην.

Τοῖς δέ εἰς νοῦν: Διά τούς ἐν μετανοίᾳ φησίν.

Ἄγουσιν: Εὔτακτος ἀκολουθία καί ἀνάβασις τοῖς ἁγίοις κατάλληλος.

Τό ἑνοειδές: Τό ἑνοειδές φησι τό πρός τό ἕν, ἤγουν τόν τό Θεῖον ὁρῶντα αὐτόν νοῦν, ὅν καί ἑνοῦσθαι λέγει πρός αὐτό τό ἕν καί τῆς τούτου ἀποπληροῦσθαι ἑνώσεως.

§ 4. Τί δέ: Κατ' ἐρώτησιν ἀνάγνωθι τό χωρίον.

Εἰ γάρ ἡ τῶν: Ὅτι ἡ αἰσθητή εὐωδία τρέφει τήν αἴσθησιν καί εὐεκτεῖν ποιεῖ.

Κριτικοῦ: Κριτικόν φησι τό τῆς ψυχῆς διακριτικόν, ἤτοι τό νοερόν, ὅπερ εἰ μή τῆς ἐπί τό χεῖρον ροπῆς καθαρεύοι, οὐκ ἄν ἐν αἰσθήσει τῆς θείας εὐωδίας γενήσεσθαι λέγει.

Ὄλβον: Πλοῦτον.

Ἡδόμενοι: Ἀντί τοῦ εὐωδιαζόμενοι.

§ 5. Τῆς κατά νοῦν: Τό κατά νοῦν, ἐπί ἀγγέλων.

Δυοκαιδεκάδι σημαίνεται: Τίνος τύπος αἱ ιβ' πτέρυγες. Σημείωσαι δέ τό μέγεθος τῶν σεραφίμ.

(≡14E_392≡> Θεολογίαν: «Ἅγιος, ἅγιος, ἅγιος».

Κακίας τε ἅμα: Σημείωσαι, ὅτι οὐ μόνον κακίας, ἀλλά καί λήθης ἀμετόχους τάς ἄνω δυνάμεις φησίν ὁ πατήρ.

Ἐπιστήμην: Καλῶς συνῆψε τῇ ἐπιστήμῃ τήν νόησιν ἡ γάρ ἀκριβής περί ὁτουοῦν κατανόησις ἐπιστήμην τούτου ἐργάζεται.

§ 6. Τάς μέν οὖν: Τίς ἡ ἰδιότης τῶν σεραφίμ, καί ὅτι ταύτην προεῖπε.

Τῶν ὑπερουρανίων: Ἐν τῇ Περί τῆς οὐρανίας ἱεραρχίας πραγματείᾳ φησί.

§ 7. Τό μέν οὖν: Θεωρία τῶν ἁγίων σεραφίμ. Σημείωσαι ὅλον τό χωρίον, ὅπως ἐκδίδωσιν ἐν αὐτῷ νοεῖν ἡμᾶς τά περί τῶν ἄνω δυνάμεων γεγράμμενα ἐν τοῖς προφήταις.

Ἑξαπλῆν θέσιν: Ἑξαπλῆν θέσιν τό ἕξ εἶναι πτέρυγάς φησι.

Πρῶτα καί μέσα: Εἴρηται ἐν τοῖς πρό τούτου, πῶς χρή ἐκδέχεσθαι τάς πρώτας καί μέσας καί τελευταίας δυνάμεις τῶν νοερῶν.

Διάπλασιν: Οὐ γάρ ἀληθῆ πτερά ἔχουσι.

Τῶν πτερῶν: Σημείωσαι δέ, πῶς ἔλαβε τά περί τῶν πτερύγων τῶν σεραφίμ, καί ὅτι καθ' ὅλον αὐτά ἵπταντο, μηδέν ἔχοντα ὑφειμένον καί ταπεινόν.

§ 8. Εἰ δέ τά πρόσωπα: Σημείωσαι ὡραιοτάτην θεωρίαν καί ξένην, διά τί οἱ σεραφίμ τά πρόσωπα καί τούς πόδας καλύπτουσι τοῖς πτεροῖς, τοῖς δέ μέσοις πέτανται.

§ 9. Καί τοῦτο δέ: Ἑρμηνεία τῶν σεραφίμ.

§ 10. Τῆς οὐσιώδους: Ἐν τῷ Περί τῆς οὐρανίας ἱεραρχίας λόγῳ ἐσαφηνίσθη, τί ἐστιν ἐπί ἀγγέλων οὐσιώδης ἕξις, ἐν ἑβδόμῳ κεφαλαίῳ.

α'. Οὐκ ἠγνόησεν: Ὅτι καί οἱ ἅγιοι ἄγγελοι ἴσασιν, ὅτι ὁ ἁγιάζων Ἰησοῦς καί ἡγιάσθη, καί πότε, καί πῶς.

Κατεληλυθότα: Τουτέστιν ἄνθρωπον γενόμενον.

(≡14E_394≡> β'. Πρός τοῦ Πατρός: Τοῦτό φησι διά τό μίαν εἶναι τῆς ἁγίας Τριάδος τήν ἐνέργειαν. Σημείωσαι δέ τήν ἀπαράβλητον ὀρθοδοξίαν τοῦ μεγάλου Διονυσίου, καί πῶς ἐφύλαξε τῆς θεότητος τοῦ Κυρίου Ἰησοῦ, ὡς Θεός, πάντα, καί αὐτός ὡς ἄνθρωπος ἡγιάσθη ὑπό τε τοῦ Πατρός καί ὑφ' ἑαυτοῦ, ἐπεί καί Θεός, καί ὑπό τοῦ ἁγίου Πνεύματος, εἰδυιῶν καί τῶν οὐρανίων τάξεων τήν ἰδίαν ἀρχήν, τουτέστι, τόν αἴτιον αὐτῶν καί τόν δημιουργόν τόν Ἰησοῦν, ὅτι κἄν ἁγιάζηται, ἀλλ’ οὖν καί οὕτως ἔχει τό κατ' οὐσίαν ἀναλλοίωτον· Θεός γάρ. Σημείωσαι δέ ὅτι τήν οἰκείαν οἶδεν ἀρχήν ἐκ τῆς θεουργίας αὐτοῦ.

δ'. Σεραφίμ περιίστησι: Σημείωσαι, διά τί τῷ θείῳ μύρῳ περιίστανται τά ἑξαπτέρυγα. Ἀπαράλλακτον δέ εἶπεν ἤ ὡς πρός τό κατά πάντα τῆς καθ' ἡμᾶς φύσεως ὁμοιωθῆναι ἡμῖν χωρίς ἁμαρτίας, ἤ ὡς μή ὑπομείναντα παραλλαγήν ἤ τροπῆς ἀποσκίασμα

κατά τήν θεότητα, ἐν τῷ προσλαβεῖν τό ἀνθρώπινον. Σημείωσαι δέ τήν ὁλικήν ἐνανθρώπησιν, διά τούς ἄνουν αὐτόν λέγοντας.

ε'. Τόν ἁγιαζόμενον: Μᾶλλον τότε οὕτως ἐφέρετο ἐν τῇ πρός Ἑβραίους· «ὅ τε γάρ ἁγιάζων καί ὁ ἁγιαζόμενος».

Τό μύρον: Διά τί σταυροειδῶς τό μύρον ἐν τῷ βαπτιστηρίῳ ἐκχεῖται.

Ὑπ ' ὄψιν ἄγει: Ἀντί τοῦ φανερῶς κηρύττει.

Θεογενεσίας καταδεόμενον: Ἀνέστη γάρ τριήμερος, μή κρατηθείς ὑπό τοῦ θανάτου.

Ἀκρατήτῳ: Ἀνέστη γάρ τριήμερος μή κρατηθείς.

Τούς εἰς τόν θάνατον: Ἔστι γάρ ἀπόκρυφος ἡ αἰτιολογία τοῖς πολλοῖς τοῦ μυστηρίου, διά τί τό εἰς Χριστόν βάπτισμα, ὅτιπερ εἰς τόν θάνατον αὐτοῦ βαπτιζόμεθα.

(≡14E_396≡> § 11. Ἀνθρωποπρεπῶς. Σημείωσαι καί ἐνταῦθεν, ὁ Χριστός, καί ὡς ἄνθρωπος, δέχεται τό Πνεῦμα τό ἅγιον ἁγιαζόμενος, καί ὡς Θεός, δίδωσιν αὐτό. Σημείωσαι καί τό τῆς οὐσιώδους θεότητος, καί ὅτι ἀναλλοίωτος ἔμεινεν.

Ἕξει τό θειότατον: Εἰ, ἐπί τῶν ἀγγέλων οὐσιώδεις ἕξεις ἀκούοντες, οὐ ποιότητας ἔξωθεν κατά συμβεβηκός ἐπιγινομένας νοοῦμεν, ὡς καί πρό ὀλίγου εἴρηται, καί ἐν τῷ Περί τῆς οὐρανίας ἱεραρχίας λόγῳ κεφαλαίῳ ἑβδόμῳ διεσαφήσαμεν, πολλῷ μᾶλλον ἐπί τοῦ καί ὑπέρ οὐσίαν κυρίως ὄντος Θεοῦ τήν ἕξιν οὐ ποιότητα δεξόμεθα, τήν ἐπί τοῖς συνθέτοις συμβαίνουσαν, ἀλλ’ ἕξιν οὐσιώδους θεότητος, τήν φυσικῶς ἔχουσαν ἐξ αὐτῆς τά τῆς ἀγαθότητος ἅπαντα. Τέως δέ σημαίνει, ὅτι καί ἡ θεότης οὐκ αὐτοουσία ἐστί τοῦ Θεοῦ, ἀλλά τῆς οὐσίας δόξα.

§ 12. Θυσιαστηρίου: Ὅτι καί τό θυσιαστήριον μύρῳ τελειοῦται, καί διά τί.

Θυσιαστήριον Ἰησοῦς: Ὅτι Ἰησοῦς ἐστι τό θυσιαστήριον· καί σημείωσαι τό μέγεθος καί τό ὕψος τοῦ τοιούτου θυσιαστηρίου, ὅπερ ἐστίν ὁ Χριστός.

Μυστικῶς ὁλοκαυτούμενοι: Τό τέλος αἰνίττεται τοῦ πεντηκοστοῦ ψαλμοῦ.

Μύρου τελετήν: Ὅτι μύρου τελετή ἐκλήθη, καί διά τί.

Θεουργικῶς ἅπαντα: Ὅ φησι τοῦτό ἐστι· Πάσης θείας θεοφανείας καί ἐργασίας διά συμβόλων δεικνυμένης, ἀκόλουθον τοῦ ἀλληλούϊα τοῦ τῶν προφητῶν μέλους τό σύμβολον, θεώρησαι τί δηλοῖ.

Φασίν οἱ τά Ἑβραίων: Σημείωσαι κατά Ἀκεφάλων.

Θεοφανείας: Ποῖος λέγεται ψαλμός, καί δῆλον ὅτι εἷς τῶν ἐπιγεγραμμένων «Ἀλληλούϊα».

ΕΙΣ ΤΟ ΚΕΦΑΛΑΙΟΝ Ε'

§ 1. Ἀποκληρώσεις: Ἀποκληρώσεις ταύτας καλεῖ διά τό (≡14E_398≡> ἑκάστην τάξιν ἱερατικήν ἀφωρισμένως ἔχειν ἱερατείας ὑπηρεσίας, οἷον ἀποκεκληρωμένας αὐτῇ, ἅς ὑπερβῆναι οὐ δύναται· δῆλον γάρ ἐστι τό ἔργον τοῦ διακόνου καί τῶν ἄλλων ὁμοίως. Δυνάμεις δέ καί ἐνεργείας ἐν τούτοις, ἔστι μέν λαβεῖν ἐφ' ἑνός νοήματος, τό αὐτό δηλούντων· τήν γάρ τοῦ καθαίρειν καί φωτίζειν

διδασκαλικῶς δύναμιν ἔχειν λέγονται οἱ ταῦτα ἐνεργεῖν ἀφιέμενοι· ἔστι δέ καί ἑτέρως διαστείλασθαι, ὡς δυνάμεις μέν λαβεῖν τάς πνευματικάς δωρεάς καί ἀξίας, ἐνεργείας δέ τάς λειτουργίας· τάς γάρ τελειώσεις, πρόδηλον, ὡς ἐπί τῶν καταστάσεων, ἤγουν χειροτονιῶν ἐκληψόμεθα.

Καί τήν μέν: Ἑξῆς σαφηνίζει, τίς τε ἡ τριαδική διαίρεσις, καί τίς ἡ τριάς τῶν ὑπερβεβηκυιῶν τάξεων, περί ὧν καί προεξέθετο ἐν τῷ πρώτῳ κεφαλαίῳ τοῦ παρόντος λόγου. Καί σημείωσαι ὅτι ἐπί τῆς ἐκκλησιαστικῆς ἱεραρχίας τριαδική διαίρεσίς ἐστι, καί ὁποία.

Ἡ καθ' ἡμᾶς ἱερά παράδοσις διαιρεῖται

εἰς μυστήριον· τοῦτο γάρ ἡ εἰς μύστην, εἰς μυουμένους. τελετή,

§ 2. Ἡ μέν ἁγιωτάτη: Τίς ἡ ἐν οὐρανοῖς ἱεραρχία, καί ὅτι τελετή ἐστι τῆς οὐρανίας ἱεραρχίας ἡ τοῦ Θεοῦ κατά δύναμιν γνῶσις καί ἕξις. Μῦσται δέ ταύτης αἱ περί Θεόν πρῶται τάξεις, τελούμενοι δέ αἱ μετ' αὐτάς παρ' αὐτῶν μυούμενοι καί διδασκόμενοι τάξεις.

Μετ' ἐκείνην: Τίς ἡ κατά τούς δύο λαούς ἱεραρχία.

Τήν κατά νόμον: Περί τῆς κατά νόμον ἱεραρχίας.

Οὐκ εὐδιάκριτον: Σημείωσαι, ὅτι οὐκ εὔληπτον λέγει καί εὐδιάκριτον τήν τῶν νομικῶν διατάξεων θεωρίαν καί ἀλληγορίαν.

Ταύτῃ δέ τῇ κατά νόμον: Τίς ἡ τελετή τῶν ἐν νόμῳ.

(≡14E_400≡> Μύστου καί ἡγεμόνος: Μωσέως δηλαδή.

Ἱερογραφῶν τήν: Κατά τό εἰρημένον· «ὅρα, ποιήσεις πάντα κατά τόν τύπον τόν δειχθέντα σοι ἐν τῷ ὄρει».

Τήν τελειοτέραν: Περί τῆς νέας ἱεραρχίας τῆς ἐν Ἐκκλησίᾳ λέγει, ὅτι κλήρωσίς ἐστι τῶν κατά νόμον. Ταῦτα δέ ὁ Ἀπόστολος ἐν τῇ πρός Ἑβραίους φησί, καί ὁ Κύριος· «οὐκ ἦλθον καταλῦσαι τόν νόμον, ἀλλά πληρῶσαι».

Τῇ μεσότητι: Σημείωσαι, πῶς μέση ἐστίν οὐρανίας ἱεραρχίας, καί τῆς νομικῆς ἡ ἐκκλησιαστική ἱεραρχία, καί πῶς ταῖς δύο κοινωνεῖ, τῇ μέν τῷ πνεύματι, τῇ δέ τῷ γράμματι, τουτέστι τοῖς συμβόλοις.

Τό τρισσόν: Πῶς ἡ εἰς τρία διαίρεσις τῶν τάξεων,

Θεοειδεῖς τῶν ἱερῶν: Τουτέστιν, εἰς ἱεράν γνῶσιν, καί διδασκάλους, καί διδασκομένους.

Τῶν καθ' ἡμᾶς: Τῶν ἀγγέλων.

Διαιρεῖται ἡ τῶν τελετῶν ἱερουργία

εἰς κάθαρσιν, μύησιν, τελειωσιν.

Ἡ τῶν ἱερουργῶν διακόσμησις

εἰς κάθαρσιν εἰς φωταγωγίαν εἰς τελείωσιν

τῶν ἀτελέστων, τῶν καθαρθέντων, τῶν φωτισθέντων.

Ἡ τῶν τελουμένων δύναμις

εἰς καθαιρομένους, εἰς φωτιζομένους, εἰς τελειουμένους.

§ 3. Δύναμιν τήν ἱεράν: Ἐν τούτοις σκόπησον εὐκρινῶς δεικνυμένην τήν τριαδικήν τῆς ἱεραρχίας διαίρεσιν.

Ἡ δέ τῶν ἱερουργῶν: Περί τῶν τελούντων.

Ἀποκαθαίρει: Τί ἐστιν ἀποκαθαίρειν, καί τί τό φωτίζειν, καί τί τό τελειοῦν, εἶπεν ἐν τῷ Περί τῆς ἐν οὐρανοῖς ἱεραρχίας κεφαλαίῳ γ' περί τό τέλος, καί ὧδε προϊόν ἐρεῖ· αὕτη δέ ἡ τριάς.

(≡14E_402≡> Τελειώσεσιν: Πρώτην τό καθαίρειν τούς ἀτελέστους, μέσην καθ' ἥν ἄλλους μυοῦσιν, ἐσχάτην δέ τό τελειωθῆναι μόνον.

Ἡ πρώτη μέν: Ἀντί τοῦ ἡ τριάς τῶν ὑποβεβηκυιῶν τάξεων.

Ἡ τρισσή: Τίς ἡ τρισσή δύναμις τῶν ἱερέων.

Συνάξεως: Ἀπό κοινοῦ τό, ἀποδειχθείσης.

Νῦν δέ τήν: Ἐκ γάρ τῶν θείων Γραφῶν καθαιρόμεθα καί ἐλλαμπόμεθα πρός τήν ἱεράν θεογενεσίαν· ἐκ τῆς συνάξεως δέ καί τῆς τοῦ μύρου τελετῆς ἐπιστημόνως τελειούμεθα. Σημείωσαι καί ἐνταῦθα ὁμοίως δηλουμένην τήν τριαδικήν διαίρεσιν.

Διαιρεῖται ἡ ἱερατική διακόσμησις

εἰς καθαρτικήν, φωτιστικήν, τελειωτικήν.

§ 4. Ἤ οὐχί καί τάς αἰσθητάς: Ὡς ἐπί τῆς ὑέλου δεχομένης τόν ἥλιον, ὅπερ καί ἀνωτέρω εἶπε· καί οἷον ἐπί τοῦ πυρός ἤ τοῦ φωτός ἔστιν ἰδεῖν, τοῦ μέν διά τῶν ἀραιῶν καί διαφανῶν σωμάτων καταλάμποντος καί τά παχύτερα καί ἀλαμπῆ, τοῦ δέ πυρός διά τῆς εὐκαταπρήστου ὕλης καί τάς ἀνεπιτηδείους πρός μετουσίαν αὐτοῦ ἐκπυροῦντος φύσεις.

Ἐλλάμπει: Ἡ ἐνέργεια τοῦ ἱεράρχου δηλονότι.

Τούτων οὖν ἐστι: Κατά κοινοῦ ληπτέον τό ἐστί· προσυπακούεται γάρ ἐπί ὅλων τῶν ἐν τῷ τόπῳ.

Θεοπτικῶν, τό τοῖς: Σημείωσαι, ὅτι θεοπτικῶς ὁ ἱεράρχης πρῶτον ἐλλάμπεται, εἶτα μεταδίδωσι τοῖς ὑπ' αὐτόν, εἶτα τελειοῖ τούτοις, οἷς μεταδίδωσι τῆς ἐλλάμψεως.

§ 5. Πρώτη μέν ἐστι. Σημειωτέον, πῶς ἡ αὐτή πρώτη καί ἐσχάτη τάξις.

Ἡ δέ τῆς ἱεραρχικῆς: Περί τῆς τῶν τάξεων δυνάμεως. Οὕτω δέ χρή νοῆσαι τά προκείμενα, ὅτι πάντα μέν τά ἱερατικῶς τελούμενα εἰς τόν ἱεράρχην τήν ἀναφοράν ἔχει, ὡς αὐτοῦ διά τῶν ὑπ' αὐτοῦ ταγμάτων ταῦτα ἐνεργοῦντος, οἷς καί παρέσχε (≡14E_404≡> τήν δύναμιν τοῦ ταῦτα ἐνεργεῖν, ὅμως ἐν ἐξαιρέτῳ τῷ ἱεράρχῃ πρός αὐτουργίαν, καί οὐ διά τῆς ἑτέρων ὑπουργίας ἀποκεκλήρωται ὁ τοῦ μύρου ἁγιασμός καί ἡ τοῦ θυσιαστηρίου καθιέρωσις καί ἡ τῶν ἱερατικῶν χειροτονία, ἅτινα καί τελεσιουργούς εἰκόνας τῆς θείας δυνάμεως ἀπεκάλεσεν· ὁλότητα δέ φησι πάσας τάς τάξεις, ὡς εὐθύς ἐπεξηγεῖται.

Αὗται δέ εἰσι: Τουτέστιν αἱ τελειοῦσαι τόν ἅγιον ἄρτον εἰς σῶμα Χριστοῦ, καί τό ποτήριον εἰς ἅγιον αἷμα, καί τό ὕδωρ εἰς ἁγίαν κάθαρσιν, καί τόν ἀφώτιστον εἰς υἱοθεσίαν, καί πάντα τά λοιπά ὁμοίως.

Εἰ γάρ καί πρός τῶν ἱερῶν: Σημείωσαι, ὅτι καί ἁγιάσαι καί τελειῶσαι τό μύρον οὐκ ἔστι πρεσβυτέρων, οὕς καί ἱερεῖς καλεῖ, ἀλλ’ οὔτε θυσιαστήριον τελειῶσαι, ἵνα καί προσενέγκῃ ἐπ' αὐτοῦ, οὔτε μήν χειροτονῆσαι. Ταῦτα γάρ μόνος ὁ ἱεράρχης ποιεῖ, ὧν ἐκτός ὁ πρεσβύτερος, οὔτε βαπτίσει, οὔτε προσοίσει, ἀλλ’ εἰς τά προτελεσθέντα ὑπό τοῦ ἐπισκόπου ἱερουργήσει.

Ἀγιστείαν: Ἤτοι χειροτονίαν.

Ἑνιαίως: Μονομερῶς.

Τάς ἐπιστήμας: Ὅτι ἡ διδασκαλική τῶν μυστηρίων δύναμις τοῖς ἱεράρχαις ἁρμόζει.

§ 6. Ἡ δέ τῶν ἱερέων: Τίς ἡ τῶν ἱερέων τάξις, ἤγουν τῶν πρεσβυτέρων.

Αὐτή δρᾷ: Ἡ τῶν ἱερέων τάξις δηλονότι.

Ἡ δέ τῶν λειτουργῶν: Τίς ἡ τῶν λειτουργῶν τάξις, τουτέστι τῶν διακόνων.

Ἀποκαθαίρει: Πῶς ἀποκαθαίρουσιν οἱ διάκονοι.

Ὅθεν ἐπί τῆς ἱερᾶς: Θεωρία τῆς καθάρσεως. Σημείωσαι δέ, ὅτι τῶν διακόνων ἐστί τό ἀποδύειν καί ὑπολύειν τούς βαπτιζομένους, καί πρός δυσμάς ἱστᾷν, καί αὖθις πρός ἀνατολήν μετάγειν.

(≡14E_406≡> Διό καί ταῖς ἱεραῖς: Σημείωσαι, ὅτι οἱ διάκονοι τότε τάς θύρας εἶχον, νῦν δέ οἱ ὑποδιάκονοι·

§ 7. Δέδεικται τοίνυν: Ἀνακεφαλαίωσις.

Δηλαδή τῆς ἱεραρχικῆς: Ὅτι ὁ ἐπίσκοπος καί τά τῶν ὑφειμένων ποιεῖ, καί οἱ πρῶτοι τά τῶν δευτέρων καί τῶν μετ' αὐτούς ποιοῦσιν οὐκ ἀνάπαλιν δέ, οἱ δεύτεροι τά τῶν πρώτων.

Ἐγχειρεῖν ἀλαζονείαν: Ὅτι ἕκαστον χρή μή κατατολμᾷν τῶν μειζόνων.

Εἰκόνες αἱ ἱερατικαί: Τίνος τύποι αἱ ἱερατικαί τάξεις, τά παρά τοῦ Θεοῦ περί τούς ἀνθρώπους ἐνεργοῦσαι.

Ἐπειδή γάρ: Περί τῶν οὐρανίων τάξεων, πῶς ὑπό Θεοῦ ἱερουργοῦνται.

Β'. Ὁ μέν ἱεράρχης: Χειροτονία ἐπισκόπου, πρεσβυτέρου καί διακόνου.

Ἄμφω τώ πόδε: Νῦν ἑτέρως ἐπιτελεῖται.

Ἕνα τῶν ποδῶν: Ἄδηλον δέ ποῖον πόδα φησί.

Καθ' ἕκαστον: Σημείωσαι, ὅτι χρή πάντας τούς ἐν τῷ ἱερατείῳ τόν χειροτονούμενον ἀσπάζεσθαι.

Γ'. § 1. Ἀνάρρησις ἱερά. Ἀνάρρησις οἱονεί κήρυξις ἐξ ὀνόματος· σφραγίζων γάρ αὐτόν ὁ χειροτονῶν ἀρχιερεύς, ἐξ ὀνόματος φάσκει· 'Σφραγίζεται ὁ δεῖνα ἀπό πρεσβυτέρου εἰς ἐπίσκοπον ἐν ὀνόματι Πατρός καί Υἱοῦ καί ἁγίου Πνεύματος'· ὁμοίως καί ἐπί πρεσβυτέρου καί διακόνου.

Ὑπόπτωσις: Ὑπόπτωσις ἡ γονυκλισία, ἀνάρρησις δέ, ὅπερ νῦν καλοῦσιν ἐπικήρυξιν ἤ ἀνακήρυξιν.

Ἡ ἀνάρρησις: Ἡ ἐπί τῶν χειροτονιῶν ἀνακήρυξις, οἷον ἐπί τῆς τοῦ ἐπισκόπου· 'Ὑπέρ τοῦ ἁγίου πατρός ἐπισκόπου τοῦδε'. Ἐπί δέ πρεσβυτέρου· 'Ὑπέρ τοῦδε πρεσβυτέρου'. Ἐπί (≡14E_408≡> δέ διακόνου· 'Ὑπέρ τοῦ ἀδελφοῦ ἡμῶν τοῦδε διακόνου'. Τόδε ἀνάρρησίν φησιν ὅταν ἐν αὐτῷ τῷ χειροτονεῖν κηρύττῃ· 'Τόν χειροτονούμενον ἡ θεία χάρις προχειρίζεται τόνδε εἰς τόνδε'.

§ 2. Ἡ μέν οὖν: Θεωρία.

§ 4. Εἰς τήν ἀνδρικήν. Σημείωσαι τήν ἀνδρικήν ζωήν τοῦ Ἰησοῦ καί θεαρχικήν ἀναμαρτησίαν.

Ἀνάρρησιν: Τίς ἡ ἀνάρρησις.

§ 5. Οὐδέ ἀδελφόν: Ὡραῖον καί πάνυ ἀναγκαῖον καί ἀσφαλές, ὅτι οὐδέ ἀδελφόν χωρίς Θεοῦ ἐποίει τις.

Ἱεροτελεστής: Ὡς ἄνθρωπος, καί ἀρχιερεύς γένονεν ὁ Χριστός. Σημείωσαι τοῦτο κατά Ἀκεφάλων καί Νεστοριανῶν.

Διό καί αὐτός. Σημείωσαι πότε ἐχειροτονήθησαν ἱερεῖς οἱ μαθηταί, καί ὅτι Ἰησοῦς, καίτοι Θεός ὤν, αὐτός οὐκ ἐχειροτόνησεν, ἀλλ' ἐπηγγείλατο πέμπειν ἀπό τοῦ Πατρός τό Πνεῦμα τό ἅγιον, ὅτε ὡς πύριναι γλῶσσαι ἐφάνησαν αὐτοῖς.

Τελετάρχην: Τόν Κύριον κατά τήν θεότητα καλεῖ.

Ὁ τῶν μαθητῶν: Ὁ ἅγιος Πέτρος δηλονότι μετά τῶν λοιπῶν, ὅτε τόν Ματθίαν προὐχειρίσατο εἰς ἀπόστολον.

Περί δέ τοῦ Θεοῦ. Σημείωσαι τί φησι περί τοῦ κλήρου τοῦ πεσόντος ἐπί Ματθίαν, καί τί νοεῖ τοῦτον.

Δοκεῖ γάρ μοι τά λόγια: Τό ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων λόγιον περί τούτων ἐν μέν ἐνίοις βιβλίοις εὗρον οὕτως ἔχον· «καί ἔδωκαν κλήρους αὐτοῖς», ἐν δέ τισι, «καί ἔδωκαν κλήρους αὐτῶν». Τό μέν οὖν αὐτοῖς συναγωνίζεται τῷ νῦν εἰρημένῳ ὑπό τοῦ θείου Διονυσίου, ὡς τοῦ κλήρου σύμβολόν τι δηλοῦντος, ἐξ ἀποκαλύψεως ἴσως ἤ ἐνεργήματος τοῦ ἁγίου Πνεύματος, πίπτοντος ἐπί τόν κληρούμενον· ὅθεν καί περί τοῦ Ἰσκαριώτου φησίν ὁ μέγιστος Πέτρος, ὅτι, «ἔλαχε σύν ἡμῖν τόν (≡14E_410≡> κλῆρον τῆς διακονίας ταύτης», καίτοι συνήθης ἡμῖν κλῆρος οὐκ ἦν ἐπί τῶν ἀποστόλων γεγονώς ὑπέρ Κυρίου τοῦ ἐκλεξαμένου αὐτούς.

§ 7. Ὁ δέ ἱεράρχης: Περί τοῦ ἐπισκόπου, διά τί ἐπιτίθεται μόνῳ αὐτῷ τά ἅγια Εὐαγγέλια.

Θεουργίας, θεοφανείας: Προσυπακουστέον τό 'ὑπάρχοντα'· κατά παράλειψιν γάρ τοῦ ρήματος πολλάκις ἡ σύνταξις. Σημείωσαι δέ πόσων μεταλαμβάνει ὁ ἐπισκοπος θείων πλεονεκτημάτων.

Ἱερολογιῶν: Τουτέστιν ἑρμηνειῶν.

Τοῖς δέ ἱερεῦσι: Περί πρεσβυτέρων.

Ἡ μέν οὖν κλίσις: Τί ἡ κλίσις δηλοῖ.

§ 8. Αἱ τρεῖς τῶν ἱεροτελεστῶν: Τουτέστιν ἱεραρχῶν, ἱερέων, καί λειτουργῶν.

Ταῖς τρισί τῶν τελουμένων: Τουτέστι τῶν καθαιρομένων, τῶν φωτιζομένων, καί τῶν θεωρητικῶς τελουμένων.

Ἡ λειτουργική τάξις: Περί διακόνου ἕνα πόδα κλίνοντος.

Οἱ δέ ἱερεῖς: Τί τό τούς δύο πόδας κλίνειν τούς πρεσβυτέρους.

Ἄμφω τώ πόδε: Τί τό τούς δύο πόδας κλίνειν τον ἱεράρχην, καί διά τί αἱ Γραφαί ἐπιτίθενται τῇ κεφαλῇ αὐτοῦ.

ΕΙΣ ΤΟ ΚΕΦΑΛΑΙΟΝ S'

Α'. Τριάδα τῶν τελουμένων: Ὅτι τρεῖς αἱ τελούμεναι τάξεις.

§ 1. Λέγομεν τοίνυν: Τίνες οἱ καθαιρόμενοι, καί πῶς.

Ἀποδιαστελλόμενοι πληθύες: Τουτέστιν οἱ κατηχούμενοι, οἱ ἐν μετανοίᾳ, καί ἐνοχλούμενοι. Διαφοράν δέ εἰσηγεῖται τῶν ἐν μετανοίᾳ ἐν τοῖς ἑξῆς.

-Τῆς δέ, ὡς: Τῶν ἐν μετανοίᾳ μετά τό βάπτισμα ἁμαρτανόντων.

(≡14E_412≡> -Τῆς δέ, ὡς ἔτι: Τῶν χειμαζομένων καί ἐνεργουμένων.

-Τῆς δέ, ὡς ἔτι πρός: Τῶν ἀπό αἱρέσεων ἤ ἀσελγειῶν.

-Τῆς δέ, ὡς μεταχθείσης: Τῶν μή τελείως ἐξ ἀσελγείας ἐπιστρεψάντων εἰς ἁγιασμόν ἤ τῶν κατηχουμένων.

§ 2. Μέση δέ τάξις: Ὁ πιστός λαός.

Ἡ καθαρθεῖσα πάσης: Τήν πᾶσαν κάθαρσιν τοῦ λαοῦ.

Αἱ καθαιρόμεναι τάξεις διαιροῦνται.

Εἰς τούς ἐκβαλλομένους τῶν ἱερῶν,

Εἰς τόν πιστόν λαόν,

Εἰς μοναχούς, ἤτοι θεραπευτάς.

Τήν τοῦ ἱεροῦ λαοῦ: Σημείωσαι ὅτι μέσην τάξιν τόν ἱερόν λαόν ἀποκαλεῖ, ἤγουν τούς ἐν λαϊκῷ τάγματι τό ὁλόκληρον, ἤτοι τό ἀνεπιτίμητον ἔχοντας· τούς δέ μοναχούς, ἤτοι τούς θεραπευτάς, τήν πασῶν ὑψηλοτέραν.

§ 3. Ἡ τῶν μοναχῶν: Μέτρα μοναχικῆς καταστάσεως.

Οἱ μέν, θεραπευτάς: Διά τί οἱ μοναχοί θεραπευταί ἐκλήθησαν.

Καί ἐνιαίας: Τί μονάς ἀμέριστος καί ἐνιαία ζωή.

Τῶν διαιρετῶν ἱεραῖς: Διαιρετά φησι τά βιωτικά.

Θεοειδῆ μονάδα: Πῶς τελειοῦται ὁ μονάζων, καί διά τί ἰδικήν τελείωσιν καί ἐπίκλησιν καί κατάστασιν ἔχει ὁ μοναχός.

Β'. Ὁ μέν ἱερεύς: Σημείωσαι ὅτι, ὁ μέν ἱερεύς φησι, καί οὐχ ὁ ἱεράρχης, καί ὅτι κατά τοῦτον τοῦ Πατρός τόν λόγον, οὐ δεῖ σχῆμα μοναχοῦ ἐπίσκοπον διδόναι, ἀλλά μόνον πρεσβύτερον.

Ταῖς διαιρεταῖς: Ταῖς βιωτικαῖς καί πολυσχιδέσιν, οἷον ἐμπορίαις φημί καί τοῖς ἄλλοις συναλλάγμασι. 'Φαντασίας' δέ, τουτέστι ταῖς κατά διάνοιαν ἐπιθυμίαις καί τῶν παθῶν ἀνατυπώσεσιν.

Ἀποκείρει: Πῶς κείρεται ὁ μοναχός.

Τήν τρισσήν: Σημείωσαι δέ τήν τρισσήν ὑπόστασιν.

(≡14E_414≡> Γ'. § 1. α'. Μοναχικήν τάξιν: Διά τι λέγεται μοναχός καί τίς ἡ μοναχική κατάστασις καί ἐπιτήδευσις,.

§ 2. Ἀποταγή: Τίς ἡ ἀποταγή.

β'. Διό καί πολλά: Σημείωσαι κατά Λαμπετιανῶν, ἤτοι Μεσσαλιανῶν ἤ Ἀδελφιανῶν, ταὐτόν δέ εἰπεῖν Μαρκιανιστῶν, οἵτινες τριετίαν μόνον ἄκρως ἀσκήσαντες, μετά ταῦτα ἐπί τοσοῦτον ἀδιαφοροῦσι τόν λοιπόν τῆς ἑαυτῶν ζωῆς χρόνον, ὡς πᾶσαν ἀτοπίαν πράττειν ἀδεῶς· μοιχείαις γάρ καί ἀσελγείαις, γαστριμαργίαις καί ἀλληλογαμίαις, καί ἁπαξαπλῶς ἐν πάσαις ἀσωτίαις ἐγκαλινδούμενοι, τά τοιαῦτα πράττειν ἀπαθῶς τερατεύονται· καί ἀναισθήτως νοσοῦντες τήν ἐμπάθειαν καί ἀναλγήτως ὑφ' ἑαυτῶν πάσχοντες καί τῶν ἐν αὐτοῖς οἰκούντων δαιμόνων, ὥσπερ οἱ φρενίτιδι κατεχόμενοι νόσῳ, ἀγάλλονται μᾶλλον καί οὐκ ἀνιῶνται.

γ'. Ἀπείρηται: Σημείωσαι ὅτι πολλά κωλύεται ὁ μοναχός ποιεῖν, ὧν οἱ λαϊκοί τήν ἐπιτροπήν καί ἐξουσίαν ἔχουσιν· οἷον ὁ γάμος, καί τό στρατείαις ἤ ἐμπορίαις ὁμιλεῖν, καί ἑτέροις, ἐν οἷς ὁ λαϊκός οὐ κατακρίνεται.

§ 3. Τριχῶν ἀπόκαρσις: Τίς ἡ ἀπόκαρσις.

§ 4. Ἡ δέ τῆς προτέρας: Τί τό μεταλλάσσειν τήν ἐσθῆτα αὐτοῦ.

§ 5. Καί πάντες: Τί ὁ ἀσπασμός.

Ἐπί τήν θεαρχικήν: Τί τό εὐθύς κοινωνεῖν.

Ἐπί τήν μετάληψιν: Διά τί οἱ χειροτονούμενοι εὐθέως κοινωνοῦσι.

Μεταδίδοται πρός: Πάντες γάρ ὁμοίως μετά τήν χειροτονίαν τῶν θείων ἀξιοῦνται μυστηρίων, ὅπερ ἐμφαίνει τήν πρός Θεόν οἰκειότητά τε καί ἕνωσιν.

Τελεταί, κάθαρσις: Τί αἱ τελεταί δηλοῦσι.

(≡14E_416≡> Τάξις: Ἰδού καί ἐνταῦθα σαφέστερον ἐδίδαξεν ὁ Πατήρ, τίνες αἱ ὑπερβεβηκυῖαι τάξεις, ὧν ἀνωτέρω ἐμνήσθη.

§ 6. Ἀλλ' ἐρεῖς ὅτι: Καί ὅτι οὐκ ἔστιν ἐν οὐρανῷ καθαιρόμενος, καί περί ἀγγέλων.

Ἔστι τις οὐρανία: Σημείωσαι ὅτι οὐδεμία λώβη τυγχάνει ἔν τινι τῶν οὐρανίων δυνάμεων, ὅ δοξάζει Ὠριγένης καί οἱ τά τούτου φρονοῦντες, φάσκοντες, ὅτι κατά τήν ἀναλογίαν τῆς παρατροπῆς ἕκαστον τῶν οὐρανίων ταγμάτων τήν τοιάνδε καί ὀνομασίαν καί τάξιν ἐκληρώσατο, καί σώμασιν ἐνεδέθησαν λεπτοτέροις, εἰς παιδείαν τῆς ἑαυτῶν ἐπί τό χεῖρον παρατροπῆς· ἀλλά πάναγνοί εἰσι δηλονότι καί ἀσώματοι νόες, ὡς ἐξ ἀρχῆς ἐκτίσθησαν· ὅτι δέ ἀσώματοί εἰσιν αἱ οὐράνιαι δυνάμεις, διαφόρως ἔγνως ἐν τοῖς ἔμπροσθεν, Ἄλλως. Ἀλλ' οὐδείς αὐτῶν τῶν οὐρανίων νοῶν μετά τήν τῶν δαιμόνων ἀπόπτωσιν ἐάλω ποτέ· τοῦτο γάρ οὐδέ παρά τῆς θείας Γραφῆς ἔγνωμεν, οὐδέ τις τῶν θεοσόφων εἴρηκε Πατέρων. Οὗτος δέ ὁ ἅγιος κατά συγχώρησιν αὐτό φησιν, ὡς ἄν εἴποι τις, ὅτι πάναγνοι μέν εἰσι καί ἀλώβητοι καί οὐ δέονται καθάρσεως· πλήν, εἰ καί δοίημεν ἔν τινι λώβῃ γενέσθαι αὐτῶν τινα, πάντως εἰς τάς ἐναντίας ἐχώρει δυνάμεις, ὥστε τάς λοιπάς τό ἀλώβητον ὡσαύτως ἔχειν, καί ὁμοίως μή δεῖσθαι καθάρσεως. Καί ὅτι τοῦτό ἐστι, σαφῶς ἔδειξεν· εἰπών γάρ πρός τήν ἀντίθεσιν τήν ἰδίαν γνώμην καί ἀληθῆ, ἐπήγαγε τό, Εἰ γάρ τις, ἀντί τοῦ, εἰ δέ καί τις δοίη τινά παρατραπῆναι, τοῦ χοροῦ τούτων ἐξέπεσεν, ὅπερ ἐγώ οὐ λέγω, φησίν, ἀλλά τοὐναντίον, ὅτι πάναγνοι διαμένουσιν εἰσαεί, ἐπεί ἐκπέσομι τοῦ καθεστῶτος. Μή οὖν τις τῶν Ὠριγένους μυστῶν οἰέσθω τό παρόν ρητόν συνηγορεῖν τῇ κακοπίστῳ αὐτοῦ δόξῃ, φάσκων, ὅτι ἀεί πτῶσις καί ἀνάκλισις καί μετάπτωσις τῶν οὐρανίων γίνεται νοῶν, ὥς φησιν Ὠριγένης μέν ἐν τῷ Περί ἀρχῶν (≡14E_418≡> πρώτῳ λόγῳ, οὕτως· 'Ὁ τοίνυν λόγος, οἶμαι, δείκνυσι πᾶς, πᾶν ὅ,τι ποτέ λογικόν, ἀπό παντός οὐτινοσοῦν λογικοῦ δύνασθαι γενέσθαι'· καί μετά βραχέα ἐπάγει λέγων· 'Μετά τό ἐπί πᾶσι τέλος, πάλιν ἀπόρρευσις καί κατάπτωσις. γίνεται'. Εὐάγριος δέ ἐν τῷ ἑβδομηκοστῷ ὀγδόῳ τῆς δευτέρας ἑκατοντάδος κεφαλαίῳ οὕτω φησίν· 'Ἕκαστον τάγμα τῶν οὐρανίων δυνάμεων, ἤ ὅλον ἐκ τῶν κάτω, ἤ ὅλον ἐκ τῶν ἄνω, ἤ ἐκ τῶν ἄνω καί ἐκ τῶν κάτω συνέστηκε'. Καί ἐν τῷ ιθ' τῆς ε' ἑκατοντάδος λέγει οὕτως· 'Ἐξ ἀγγελικῆς καταστάσεως καί ἀρχαγγελικῆς, ψυχική κατάστασις

γίνεται· ἐκ δέ τῆς ψυχικῆς, δαιμονιώδης καί ἀνθρωπίνη· ἐκ δέ τῆς ἀνθρωπίνης, ἄγγελοι πάλιν καί δαίμονες γίνονται'.

Ταῖς ὑφειμέναις: Ποία ἐστίν ἡ τῶν οὐρανίων κάθαρσις καί διακόσμησις. Ἄλλως. Ὅτι κάθαρσις τῶν οὐρανίων δυνάμεών ἐστιν ἡ ἐπί τελεωτέραν γνῶσιν ἔλλαμψις· καί σημείωσαι ὅτι προκόπτουσιν ἐπί γνῶσιν, καί ὅτι δαίμονες οὐ λέγουσι καθαίρεσθαι, διά τούς φάσκοντας καί αὐτούς ἐν τῇ παρ' αὐτῶν μυθευομένῃ ἀποκαταστάσει, σώζεσθαι μετά τῶν ἁγίων.

Οὕτω καί φωτιζόμεναι: Σημείωσαι τά περί τῶν ἀγγέλων, πῶς φωτίζονται καί τελειοῦνται.

ΕΙΣ ΤΟ ΚΕΦΑΛΑΙΟΝ Ζ'

Α'. § 1. Οὕτω καί πρός: Ὅτι οὐκ ἐν τοῖς αὐτοῖς τόποις ἀπάγονται οἱ τελευτῶντες πάντες, καί περί ἀναστάσεως.

Ὁλικῆς ἀναστάσεως: Τῆς μετά τοῦ σώματος δηλονότι.

Αἱ μέν γάρ: Περί δικαίων λέγει.

Τά δέ καθαρά τῶν: Περί ἀναστάσεως σωμάτων.

(≡14E_420≡>

Τῶν δοξαζόντων ἀνάστασιν καί κρίσιν,

οἱ μέν μετά τῶν αὐτῶν σωμάτων ἐγείρεσθαι τήν ψυχήν φασιν, ὡς οἱ Χριστιανοί·	οἱ δέ δίχα σώματος·	οἱ δέ μετ' ἄλλων σωμάτων των ξένων, καί βίον ἔχειν, οἷον νῦν.

Τῶν κεκοιμημένων,

οἱ μέν εἰσι ἱεροί·	οἱ δέ ἀνίεροι.

Ἑνωθέντα γάρ: Ὅτι ἑνοῦνται ταῖς ψυχαῖς τά σώματα.

[Σημείωσαι δέ καί τήν ὁλικήν ἀνάστασιν].

§ 2. Τῶν δέ ἀνιέρων: Περί θανάτου ἁμαρτωλῶν, καί τί νομίζουσι μετά θάνατον γίνεσθαι οἱ Ἕλληνες, ὧν τάς δόξας ἐκτίθεται. Τούτων γάρ οἱ μέν ἀλογιστότεροι οὔτε ἀθάνατον τήν ψυχήν ὁμολογοῦσιν, ὧν ἐστι καί Βίας, οὐχ ὁ Πριηνεύς, ἀλλ’ ἕτερός τις, ἀλλά θνητήν καί λύεσθαι αὐτήν, ὅν τρόπον καί τό σῶμα, καί εἰς τό μή εἶναι χωρεῖν· οἱ δέ δῆθεν αὐτῶν λογικώτεροι, καί περί ἀθανασίας ψυχῆς φιλοσοφήσαντες, ὡς Πλάτων καί οἱ τοιοῦτοι, μετά θάνατον τό μέν σῶμα οὐκ ἔτι συστήσεσθαί φασιν, ἀλλ’ εἰς αἰῶνας οὐχ ὑποστρέφειν ἔτι, πρός ἣν ἔσχε σύστασιν. Τοῦτο γάρ ἐστιν ὅ φησιν εἰσάπαξ, ἀντί τοῦ μηκέτι συστησόμενον, ἐπειδή ἀνάξιον εἶναί φασι τό ὑλικόν συνδιαιωνίζειν ψυχῇ, τήν δέ ψυχήν μόνον ἀθανάτως ὑπάρχειν. Ταῦτα καί αἱρετικοί λέγουσι διαφόρως, ὡς οἱ ἀπό Σίμωνος τοῦ μάγου, καί Μενάνδρου, καί Οὐαλεντίνου, καί Μαρκίωνος, καί Μάνεντος· καί νῦν δέ οἱ ἀπό τῶν Ὠριγένους προερχόμενοι μύθων, οὐ γάρ δογμάτων. Καί ὁρᾶτε τίσι θέλουσι συναριθμεῖσθαι, καί ποίας ἀτόπους δόξας τῇ ἀμωμήτῳ τῶν Χριστιανῶν πίστει προσάπτουσιν οἱ στυγητοί παρά Θεῷ καί ἀνθρώποις εὖ φρονοῦσιν ὑπάρχοντες.

Οἱ δέ τήν σωματικήν: Τουτέστι ψυχῶν μόνων γίνεσθαι ἀνάστασιν, σωμάτων χωρίς.

Ἀρθεῖσαν ἤδη: Ὅ λέγει ὁ Ἀπόστολος ἀρραβῶνα καί ἀπόδειξιν τῆς μετά σώματος καθολικῆς ἀναστάσεως τόν Κύριον (≡14E_422≡>

ἡμῶν Ἰησοῦν Χριστόν γεγενῆσθαι· καί ὅτι ἐν αὐτῷ νῦν κέκρυπται ἡ ζωή ἡμῶν, ἐν τῷ Θεῷ φανερωθησομένη ἐν τῇ παλιγγενεσίᾳ.

Ψυχαῖς συζυγίας: Αἱρετικοί τινες τότε γεγόνασιν, ὡς οἱ περί Σίμωνα τόν μάγον καί τούς σύν αὐτῷ, οἵ τινες αἰθέριον ἔφασκον, εἴ γε καί ἄρα ἔσεσθαι σῶμα ταῖς ψυχαῖς. Ἰστέον δέ ὅτι καί Ὠριγένης τό αὐτό φησιν ἕν τινι τῶν αὐτοῦ συγγραμμάτων· ἐν ἄλλοις δέ καί αὐτό παντελῶς ἀπαρνεῖται, πᾶσαν σωματικήν φύσιν εἰς ἀνυπαρξίαν χωρεῖν δογματίζων. Ἀνάγνωθι Μεθοδίου τοῦ ἁγίου μάρτυρος καί Ὀλυμπίου Ἀδριανουπόλεως ἐπισκόπου τῆς Λυκίας τά κατ' αὐτοῦ ὑπ' αὐτῶν περί ἀναστάσεως γραφέντα, καί Ἀντιπάτρου τοῦ Βόστρων ἐπισκόπου, καί μαθήσῃ τήν μυθώδη αὐτοῦ καί ἀλλόκοτον ληρωδίαν.

Καί μακαριωτάτην: Ταῦτά φησιν αἰνιττόμενος, οἶμαι, Παπίαν τόν Ἱεραπόλεως τῆς κατ' Ἀσίαν τότε γενόμενον ἐπίσκοπον, καί συνακμάσαντα τῷ θείῳ εὐαγγελιστῇ Ἰωάννῃ. Οὗτος γάρ ὁ Παπίας ἐν τῷ τετάρτῳ αὐτοῦ βιβλίῳ τῶν Κυριακῶν ἐξηγήσεων τάς διά βρωμάτων εἶπεν ἐν τῇ ἀναστάσει ἀπολαύσεις, εἰς ὅπερ δόγμα μετά ταῦτα ἐπίστευσεν Ἀπολλινάριος, καθώς ἐμφαίνεται ἐν τῷ συγγράμματι αὐτοῦ, ὅ καλοῦσί τινες χιλιονταετηρίδα. Πῶς οὖν Ἀπολλιναρίου τά τοῦ ἁγίου Διονυσίου συγγράμματα, κατά τούς τινων λήρους, τά ἀναιροῦντα Ἀπολλινάριον; Καί Εἰρηναῖος δέ ὁ Λουγδούνου ἐν τῷ Κατά αἱρέσεων πέμπτῳ λόγῳ, τό αὐτό φησι, καί παράγει μάρτυρα τῶν ὑπ' αὐτοῦ εἰρημένων τόν λεχθέντα Παπίαν.

Ὅταν ἐπί τό τέλος: Φρικτά καί λίαν φοβερά τά τῶν ἁμαρτωλῶν τέλη.

Ἑτέροις ὀφθαλμοῖς: Ἑτέρους ὀφθαλμούς φησι τούς τοῦ νοῦ, λοιπόν καθαρωτέρου ὄντος καί τά εἰς ἅδου σκοποῦντος καί στρεφομένου εἰς τήν προδοκίαν τῆς γεέννης, ἥν οὐ πρότερον πεπιστεύκει· διό καί δυσανασχετεῖ καί ὀδύρεται τόν θάνατον, ἐννοῶν (≡14E_424≡> μήποτε ἀληθεῖς ὦσιν αἱ κάτω τιμωρίαι· ὥστε καί οἱ ἁμαρτωλοί ἐν τῷ σώματι ἐγείρονται.

Β'. Συναγαγών: Περί ἱερατικῶν τελευτώντων.

Εἰ δέ τοῖς εὐαγέσι: Περί μοναχῶν, δικαίων καί λαϊκῶν.

Ἐν τοῖς θείοις: Σημείωσαι τι ἀναγινώσκεται καί τί ψάλλεται ἐπί τῶν κεκοιμημένων μοναχῶν καί λαϊκῶν· ὁμολόγους δέ καί ταὐτοδυνάμους ὠδάς λέγει ταῖς προαναγνωσθείσαις περί ἀναστάσεως ἀψευδέσιν ἐπαγγελίαις ἄδειν τούς λειτουργούς.

Γ'. § 1. Ἰησοῦ φωταγωγοῦντος: Ὅτι πρός τόν βίον καί οἱ τόποι τῶν κεκοιμημένων.

Ὑπέρ ταύτης τῆς θείας: Ὅτι δικαιοσύνης ἐστί τό πρός τόν βίον δοῦναι καί τόν τόπον.

Εὐχήν ἱεράν: Διά τί ἡ εὐχή.

§ 2. Αἱ δέ τῶν θεαρχικῶν: Διά τί ὠδαί καί ἀναγνώσματα. Σημείωσαι δέ ὁποία ἦν ἡ ἐπί τοῖς κεκοιμημένοις παλαιά ἀκολουθία καί τάξις.

Σκόπει δέ, ὅτι νῦν: Ὅτι ἐπί τοῖς τελευτῶσιν, οὔτε οἱ ἐνεργούμενοι, οὔτε οἱ ἐν μετανοίᾳ ἐξίασιν, ἀλλά μόνοι οἱ κατηχούμενοι, καί διά τί.

Οἱ κατηχούμενοι: Οὐδέν μέν μικρόν ἐν τοῖς καθ' ἡμᾶς μυστηρίοις, ἀλλά πάντα μεγάλα· αὐτά μέντοι, πρός ἄλληλα συγκρινόμενα, διαφοράν ἕξουσι πρός μεγαλειότητα. Τῶν γάρ δρωμένων ἐπί τοῖς τελευτῶσι μέγιστα καί ἀπαράβλητα τά τῶν θείων λουτρῶν καί φωτισμάτων καί μεταλήψεων μυστήρια· διό καί μικρά τά ἐπί τοῖς κεκοιμημένοις ὠνόμασε· πλήν οὐδέ τούτων ἄξιοι οἱ ἔτι κατηχούμενοι.

Βλαβήσονται γάρ: Ταῦτα ἀκολουθεῖ τοῖς ἐν τῇ πρός Κορινθίους πρώτῃ εἰρημένοις παρά τοῦ Ἀποστόλου περί τῶν ἀναξίως κοινωνούντων· ὧδε δέ καί περιφρονεῖν αὐτούς λέγει τῶν θείων μυστηρίων.

§ 4. Ἡ μέν οὖν εὐχή: Σημείωσαι τί εὔχεται.

(≡14E_426≡> Ἀνθρωπίνην ἀσθένειαν: Τουτέστι τά ψιλά τῶν ἁμαρτημάτων.

§ 5. Ἀναλόγοις σημασιαις: Ἀναλόγοις σημασίαις ἔφη, τουτέστι ταῖς ἡμῖν γνωρίμοις τε καί συνήθεσι, καί οὐχ ὑπέρ τήν ἡμετέραν νόησιν, λέξεσί τε καί ὀνομασίαις σημαινόμενα.

Τῆς πραγματικῆς αὐτῶν. Τουτέστι καθ' ὅ δυνάμεθα νοεῖν καί ἐκ τῶν ἡμῖν γνωρίμων λέξεών τε καί ὀνομάτων τάς ἐκεῖ ἀπολαύσεις ὁ Θεός ὠνόμασεν, εἰπών, μή εἶναι ἐκεῖ λύπην ἤ νόσον ἤ πόνον ἤ στεναγμόν, ἀλλά φῶς εἶναι· πλήν οὐ τοῦτο τά ἐκεῖ ἀγαθά, ἀλλ' ὡς ἀληθῶς ἄγνωστα τέως ἡμῖν καί ἀκατάληπτα, «ἅ γάρ ὀφθαλμός οὐκ εἶδε», καί τάς ἑξῆς, ἀλλ' ἐξ ὧν οἴδαμεν, ὑποδείγματα δίδωσι μακαριότητος. Σημείωσαι δέ, πῶς λαμβάνει τό, «εἰς κόλπους Ἀβραάμ καί Ἰσαάκ καί Ἰακώβ».

§ 6. Ὅτου ἕνεκα: Ἀπορεῖ περί τῆς γινομένης εὐχῆς παρά τοῦ ἱεράρχου ἐπί τοῖς ἐν ἁμαρτίαις κεκοιμημένοις.

Τῶν δικαίων αἱ προσευχαί: Σημείωσαι ὅτι μόνους τούς ἀξίους τῶν οἰκτιρμῶν τοῦ Θεοῦ ὠφελοῦσιν αἱ τῶν δικαίων προσευχαί, εἴτε ζῶντας, εἴτε τελευτήσαντας, οὐ μήν ἁμαρτωλούς καί ἀξιοκατακρίτους καί ὧδε καί μετά θάνατον.

Ἤ τί πρός τοῦ Σαμουήλ: Οὔτε γάρ τόν Σαούλ κάκιστον ὄντα ὠφέλησεν ὁ Σαμουήλ εὐξάμενος, οὔτε τούς Ἑβραίους ἁμαρτωλούς ὄντας ὁ Μωϋσῆς· εἶπε γάρ ὁ Κύριος πρός αὐτόν· «μή προσεύχου περί τοῦ λαοῦ τούτου».

Ἡλίου τά οἰκεῖα: Ὅρα μή πού γε νομίσῃς, ὅτι τόν ἥλιόν φησι δωρεῖσθαι τά ἑαυτοῦ φῶτα (πῶς γάρ ἄν ἄψυχος δωρήσαιτο; προαιρέσεως γάρ ἡ δωρεά), ἀλλά κατά ἠθοποιίαν οἱονεί τινα τό προκείμενον λέγει. Ὥσπερ γάρ εἴ τις ὑπόθοιτο τόν ἥλιον λέγειν· Ἐγώ τοῖς ἐρρωμένοις ὀφθαλμοῖς δίδωμι φῶς. (≡14E_428≡> Εἶτα ἀσθενῶν τις τά ὄμματα εἴποι· Δός κἀμοί· ἔρρωμαι γάρ. Ἔπειτα δεξάμενος τήν ἀκτῖνα, καί ὅ ἐώρα ἀπολέσει. Τόν αὐτόν τρόπον καί ὁ ἁμαρτωλός, αἰτῶν δίκαιον εὔξασθαι ὑπέρ αὐτοῦ, πάσχει· ἀμβλυώττων γάρ ὁ ἁμαρτωλός καί δεχόμενος τῆς τοῦ δικαίου εὐχῆς τήν ἀκτῖνα, οὐ συγχωρεῖ αὐτήν τά κατά φύσιν ἐνεργεῖν καί φωτίζειν, ἀλλά σκότος ἑαυτῷ προξενεῖ, τῷ μήτε προσέχειν διά καθαροῦ βίου ταῖς τοῦ Θεοῦ δωρεαῖς, καί τῇ ἀποφοιτήσει μέντοι, ἤγουν ἀναχωρήσει τῶν φωτιζουσῶν ἐντολῶν τοῦ Θεοῦ, καί οὐδέν

ὑπό δικαίου εὐχῆς ὠφεληθήσεται. Ὅτι δέ τά περί τοῦ ἡλίου οὕτω νοεῖ, καί ἐν τῷ Περί θείων ὀνομάτων κεφαλαίῳ δ' σημαίνει.

Ὠφέλιμοι: Πῶς καί πότε ὠφελεῖ δικαίου εὐχή ζῶντα μόνον· καί φησιν, ὅτε μετανοοῦντα κατά τόν Ἀπόστολον, «κλαίειν μετά κλαιόντων», ὅτε καί τό λόγιον ἐκεῖνο πληροῦται, «μέγα ἰσχύει εὐχή δικαίου ἐνεγρουμένη διά τῆς μετανοίας τοῦ δεομένου», τῆς εὐχῆς, δηλονότι. Ἐάν γάρ εἰς οἰκοδομῇ, τουτέστιν ὁ δίκαιος, καί εἰς, οἷον ὁ ἁμαρτάνων, καταστρέφῃ, ἀτέλεστον μένει τό ἔργον, ὡς ἔγνωμεν ἐπί τοῦ κατά τόν Σαούλ καί τόν Σαμουήλ ὑποδείγματος.

Ἕξιν ἱεράν ἔχων: Ἕξιν δέ ἱεράν ἐνταῦθα τήν τοῦ οἰκείου βίου πρός ἀρετήν διάθεσιν εἴρηκε. Συλλήπτορα δέ, ἀντί τοῦ βοηθόν.

Ὁμιλίαν: Οὐχ ἁπλῶς τοῦ πρός θείαν ἡμᾶς ὁμιλίαν χωρεῖν, καί δι' ἑαυτῶν αἰτεῖσθαι παρά Θεοῦ τά κρείττονα καί σωτήρια, ἀπείργει ὁ πατήρ, εἰδώς τόν Ἀπόστολον προστάσσοντα ἀδιαλείπτως προσεύχεσθαι, ἀλλά τοῦ, οἰήσει τινά κρατούμενον (≡14E_**430**≡> ὑπερφρονεῖν τῶν ἁγίων, καί ἀντ' οὐδενός τίθεσθαι τάς τούτων εὐχάς.

Περί δέ τῆς: Ἔνθεν ἄρχεται λέγειν, ὡς ὠφελεῖ τόν νεκρόν ἡ εὐχή. Καί σημείωσαι ὅτι καί πρό αὐτοῦ ἐζητήθη τό ἄπορον τοῦτο.

§ 7. Παρορώσης. Ποίας ἡμῶν ἁμαρτίας ὁ Θεός παρορᾷ διά τῆς τοῦ ἱερέως προσευχῆς καί δεήσεως.

Αἰτεῖ δέ αὐτά: Τί αἰτεῖ ὁ ἱερεύς.

Τοῖς παροῦσι: Τουτέστι τοῖς δικαίοις καί εὐσεβέσι.

Κατά θείαν ζωήν: Τουτέστιν ὅσα νομίμως καί ἀκολούθως ὁ δίκαιος ἐπίσκοπος αἰτήσει, λήψεται, ἀλλ’ ἐπί δικαίων· εἴρηται γάρ τῷ ἁγίῳ Πέτρῳ· «ὅσα ἄν δήσῃς ἐπί τῆς γῆς», καί τά ἑξῆς· κατά μίμησιν δέ τοῦ ἁγίου Πέτρου εἰσίν οἱ ἐπίσκοποι, ὡς μετά μικρόν λέγει. Σημείωσαι δέ μέγεθος ἱεραρχίας καί ὕψος καί καθαρότητα.

Διό τοῖς ἀνιέροις: Σημείωσαι ὅτι ταῦτα τοῖς ἁμαρτωλοῖς οὐκ ἐπεύχεται.

Τελετάρχου: Τουτέστι τοῦ θείου Πνεύματος.

Αἰτεῖτε καί: Ἐκ τῆς Ἰακώβου Ἐπιστολῆς τό ρητόν, διδάσκον ἡμᾶς, ὡς οὐ δεῖ προσεύχεσθαι περί κακοῦ τινος προσώπου ἤ πράγματος.

Τάς ἀφοριστικάς ἔχουσι: Περί τῶν ἀκοινωνησιῶν καί ἀφορισμῶν τῶν παρά τοῦ ἱεράρχου· δυνάμεις γάρ φησι τάς ἐκ Θεοῦ δεδομένας αὐτοῖς γνωστικάς δοκιμασίας καί κρίσεις, δι' ὧν ἀφορίζουσι τούς ἁμαρτωλούς ἐκ τῶν δικαίων, ἤ τό ἔμπαλιν.

Ἀλόγοις ὁρμαῖς: Σημείωσαι ὅτι, ἐάν παρά τόν σκοπόν τοῦ Θεοῦ ἀφορίσῃ ὁ ἱεράρχης, οὐχ ἕπεται αὐτῷ τό θεῖον κρῖμα· κατά γάρ θείαν κρίσιν καί οὐ διά θέλημα ἴδιον ταῦτα ὀφείλει ἐπιφέρειν.

(≡14E_**432**≡> Τό Πνεῦμα. Σημείωσαι τί παρέσχε τοῖς ἀποστόλοις τό μετά τήν ἀνάστασιν αὐτοῖς δοθέν ἅγιον Πνεῦμα διά τοῦ ἐμφυσήματος τοῦ Κυρίου.

Ἐλλαμπομένῳ: Τῷ ἁγίῳ Πέτρῳ.

Ὅς ἐκείνου καί παντός: Πῶς χρή λαμβάνειν τό τοῦ Εὐαγγελίου ρητόν, «ὅ ἐάν δήσῃς» καί τά ἑξῆς.

Καί τοῦ ἱεράν: Ἱεράν θεολογίαν φησί τό, «Σύ εἶ ὁ Χριστός ὁ Υἱός τοῦ Θεοῦ τοῦ ζῶντος», ὅ σημειωτέον κατά τε Βασιλειανῶν καί Νεστοριανῶν καί Παυλιανιστῶν καί τῶν ὁμοίων.

Ὅπως ἄν: Καθώς,

Ἱεραρχικῶς: Ἀσφαλέστατα ἐπί τούτων εἶπε τό ἱεραρχικῶς.

§ 8. Θεογενεσίαν, πρό τοῦ: Ὅτι ἐπί μέν τῶν βαπτιζομένων πρῶτόν ἐστι τό ἅγιον ἔλαιον, ἐπί δέ τῶν κεκοιμημένων τελευταῖον.

Καί τότε μέν: Διά τί ἡ τοῦ ἐλαίου χρίσις ἐπί τῶν βαπτιζομένων, καί διά τί ἐπί τῶν κεκοιμημένων.

§ 9. Μετά τοῦ σφετέρου: Ὅτι ἑκάστης ψυχῆς ἴδιον σῶμα ὑπάρχει, μεθ' οὗ καί τάς ἀνταποδόσεις κομίζεται· διό καί ἑκάτερα μετέχει τῶν ἁγιασμάτων· κατά κοινοῦ δέ τό ἀμφοῖν δωρεῖται.

Θεαρχικάς κοινωνίας: Θεία θεσμοθεσία δηλονότι.

Τόν ὅλον ἄνθρωπον: Σημείωσαι ὅτι ὅλον ἄνθρωπον καλεῖ τόν ἐκ τῆς νοερᾶς ψυχῆς καί σώματος, ὡς δηλοῖ τό ἐν καθαρᾷ θεωρίᾳ καί ἐπιστήμῃ· καί ὅτι ὁλικήν φησι σωτηρίαν τῆς ψυχῆς καί τοῦ σώματος· διά τοῦτο δέ ταῦτα δεῖ σημειώσασθαι, ἵνα, ὅταν εἴπῃ ἐν ἑτέροις λόγοις, 'ὁλικῶς οὐσιωθῆναι τόν ὑπερούσιον Ἰησοῦν καθ' ἡμᾶς', νοήσῃς ἐκ ψυχῆς νοερᾶς καί σώματος τήν ἐνανθρώπησιν.

§ 10. Τελεστικάς ἐπικλήσεις. Τελεστικάς ἐπικλήσεις φησί τάς ἐπί τῆς χειροτονίας εὐχάς. Σημείωσαι δέ διά τί ταύτας, ἤτοι τάς ἁγίας ἐπικλήσεις καί τάς ἐνεργείας ἐσιώπησεν.

(≡14E_434≡> § 11. Παῖδας οὔπω: Σημείωσαι τί φησιν ὁ Πατήρ περί τοῦ τά βρέφη βαπτίζεσθαι. Ταῦτα δέ ὥς ἐρωτήσαντι τῷ ἁγίῳ Τιμοθέῳ ἔγραψεν, ὡς εἶναι δῆλον, ὅτι καί τά πρότερα καί τούς ἄλλους λόγους πρός ἐρωτῶντας ἔγραφε.

Τάς ἱεράς παραδόσεις: Ὅτι καί τότε ἦσαν οἱ σκώπτοντες τά μυστικά ἡμῶν, ὡς καί τά περί τῶν βαπτιζομένων παίδων, ὧν μή δυναμένων λαλῆσαι, οἱ προσφέροντες αὐτούς ἀποτάσσονται ὑπέρ αὐτῶν, καί συντάσσονται τά σύμβολα· περί τοῦ σκώμματος ἀπολογεῖται, προστιθείς, ὅτι οὐ πάντα πᾶσι γνωστά. Σημείωσαι δέ ὡς καί οἱ ἄγγελοι πολλά ἀγνοοῦσιν.

Ἐπιστητάς: Ἐπιστητάς, ἤτοι γινωσκομένας.

Φασί γάρ ὅπερ: Σημείωσαι πῶς παρέλαβεν ἐκ τῶν πρό αὐτοῦ περί τῶν παίδων.

Καθηγεμόσιν: Καθηγεμόνας τούς ἀποστόλους φησίν.

Ἀγαθῷ τά θεῖα: Σημείωσαι τίνι παραδίδοται ὁ παῖς ὑπό τῶν γονέων, ὅταν βαπτισθῇ, ὅτι ἀναδόχῳ μεμυημένῳ τά θεῖα πρός ἀναγωγήν ἱεράν.

Καθηγεμόνα: Σημείωσαι ὅτι καί τόν ἀνάδοχον καθηγεμόνα καλεῖ.

Γιγνομένην: Τήν ζωήν δηλονότι.